Isócrates

ΕΠΙΣΤΟΛΑΙ

Cartas



Traducción de

Juan Manuel Guzmán Hermida

ΕΠΙΣΤΟΛΑΙ
CARTAS

INTRODUCCIÓN

Se han conservado nueve cartas escritas por Isócrates. Su transmisión varía según los MSS.[1] y la autenticidad de algunas de ellas es todavía motivo de discusión[2].
Todas están dirigidas a personajes políticos de primera fila. Con excepción de la IV y de la VIII, que son cartas de recomendación, las demás son consejos políticos, destacando sobre todo la idea panhelénica constante en la producción de Isócrates.

Carta I.— Dirigida a Dionisio el Viejo[3], tirano de Siracusa entre los años 405 a 367 a. C. Es el primer intento de Isócrates porque sea un príncipe y no Atenas la cabeza de una confederación panhelénica. El progresivo acercamiento entre Dionisio y Atenas, sellado con un tratado de alianza el año 367, hace situar en este año la redacción de la carta. La muerte de Dionisio en la primavera del 367 explicaría que Isócrates no la terminara[4].

Carta VI.— Los destinatarios son los hijos de Jasón, tirano de Feras en Tesalia, asesinado el año 370 a. C. Isócrates les aconseja renunciar a la tiranía y establecer un gobierno aceptado por sus conciudadanos, así como reanudar con Atenas las buenas relaciones que tuvo Jasón. La carta está incompleta[5] y es la que presenta más graves problemas de autenticidad[6].

Carta IX.— Isócrates escribe esta carta a Arquidamo III, rey de Esparta, a quien ya había dedicado el discurso VI. La intención es la misma de la carta a Dionisio de Siracusa: animar a Arquidamo a emprender una campaña panhelénica contra Persia, que se encuentra ahora con graves problemas internos. La fecha de la carta es segura, porque Isócrates dice (§ 16) que tiene 80 años (356 a. C.). Como las anteriores, la carta está inconclusa[7].

Carta VIII.— Destinada a los magistrados de Mitilene, en demanda de amnistía para Agenor, profesor de música de los nietos de Isócrates. La fecha de la carta puede situarse hacia el año 350 a. C. (se habla de Timoteo ya muerto, hecho ocurrido el 354 y sabemos por Demóstenes que la tiranía se establece en Mitilene el 347). No existen dudas serias sobre su autenticidad.

---

[1] Véase Introducción al tomo I.

[2] Aparte de los capítulos dedicados a esta cuestión en las obras generales de DRERUP, BEKKER, BLASS, etc., véase WILAMOWITZ-MOELLENDORF, «Unechte Briefe», Hermes 33 (1898), G. WEISS, Zur Echtheit der Briefe des Isokrates: syntaktische Beiträge, Schwabach, 1914, y la disertación de L. F. SMITH, The Genuineness of the ninth and third Letters of Isocrates, Lancaster, Pennsylvania, 1940.

[3] Según el manuscrito Φ, el destinatario sería Licofrón de Feras; sin embargo, que la carta se dirigía a Dionisio lo atestigua el propio Isócrates en Filipo 81.

[4] Así piensa MATHIEU, Isocrate…, IV, pág. 168.

[5] MATHIEU, Isocrate…, IV, pág. 169, cree que esta circunstancia se debería al cambio de la situación política.

[6] MIKKOLA, Isokrates…, págs. 290-292, se inclina por la inautenticidad siguiendo a C. WOYTE, De Isocratis quae feruntur epistulis quaestiones selectae, págs. 41-52, Disertación, Leipzig, 1907. A favor, en cambio, prácticamente todos los editores de Isócrates.

[7] MATHIEU, Isocrate…, IV, págs. 172-173, piensa que la lentitud de Isócrates hizo que los acontecimientos se adelantaran a su propósito. Las ideas expresadas en la carta a Arquidamo las volverá a exponer en el discurso Filipo.

Carta VII.— Clearco, tirano de Heraclea en el Ponto, había sido discípulo de Isócrates. A Timoteo, su hijo, le escribe ahora Isócrates para felicitarle por su buen gobierno y recomendarle al portador de la misiva, un tal Autocrator del que no sabemos nada[8]. Como Timoteo comienza a gobernar entre 346 y 345, la carta puede fecharse en esos años[9]. No existen tampoco problemas de autenticidad.

Carta II.— Dirigida al rey Filipo de Macedonia, dos años después de haberle dedicado su discurso V. En la primavera del año 344, el rey macedonio había sido herido durante su campaña contra los ilirios; Isócrates le aconseja que refrene su temeridad y no se exponga a peligros innecesarios. Las relaciones entre Filipo y Atenas son bastante tensas en estos momentos; a pesar de ello, Isócrates vuelve a intentar la reconciliación entre su ciudad y el rey, y parece que sus consejos tuvieron eco[10]. La fecha oscila entre el año 344 y el 342 a. C.[11].

Carta V.— A Alejandro de Macedonia. Es un breve mensaje que acompañaba a una carta destinada a Filipo, probablemente perdida[12]. Contiene algunos consejos sobre la educación del joven príncipe, entonces bajo la tutela de Aristóteles. La curiosidad de la carta está en que en ella Isócrates trasluce la rivalidad existente entre las escuelas cuando se trató de designar un preceptor a Alejandro[13]. La fecha, insegura, entre los años 342 y 340, en el que estalló la guerra entre Atenas y Filipo.

Carta IV.— A Antípatro, regente de Macedonia[14]. Se trata de una carta de recomendación a favor de Diodoto, personaje desconocido. Sabemos que Antípatro fue como embajador de Macedonia a Atenas en el año 346 y probablemente en 344 y 342. Ello explicaría el tono amistoso que tiene la carta, pues sin duda Isócrates, claro partidario de Filipo, mantendría buenas relaciones con su embajador. El carácter familiar de la carta, inhabitual en Isócrates, así como cuestiones de carácter lingüístico[15], han heho muy debatida su autenticidad[16]. En cuanto a la fecha, como al comienzo de la carta Isócrates menciona la situación de beligerancia entre Atenas y Macedonia, puede situarse a finales del año 340 o comienzos del 339 a. C.

Carta III.— En el mismo año de su muerte 338 a. C., Isócrates escribe su última obra, una carta a Filipo. Por lo que dice al comienzo sobre el «combate recientemente librado», éste no puede ser otro que la batalla de Queronea[17], sostenida en el otoño del 338. Isócrates vuelve a aconsejar a Filipo la expedición contra Persia; como él mismo dice no ha hecho otra cosa desde su discurso *Panegírico*. La autenticidad ha sido discutida en base a dos hipótesis: la pretendida muerte de Isócrates a los pocos días de la batalla

---

[8] Aunque se cree que este Autocrator se dedicaba también a la retórica, BLASS, *Die attische*…, II, pág. 330, ha supuesto por las palabras de Isócrates al hablar de su téchn*e*, que sería además médico o adivino.

[9] BLASS y JEBB dan como seguro el año 345 a. C.; MIKKOLA también, pero con interrogación.

[10] MATHIEU, Isocrate…, IV, pág. 176, señala un acercamiento de Filipo a Atenas mediante una política de concesiones, así como la respuesta poco favorable a una embajada del rey persa enviada a Atenas el año 343, a pesar de los intentos de Demóstenes y sus partidarios.

[11] MATHIEU y MIKKOLA son partidarios del año 344; L. VAN HOOK, siguiendo a BLASS y JEBB, se inclina por el 342.

[12] VAN HOOK, *Isócrates*, III, pág. 425, cree que este mensaje a Alejandro acompañaba a la carta II. Sin embargo, aludiendo a la edad que entonces podía tener el príncipe, MATHIEU la sitúa entre las dos cartas enviadas a Filipo que se conservan.

[13] Rivalizaron para obtener el puesto de preceptor de Alejandro los alumnos de Isócrates Teopompo e Isócrates frente a Antípatro de Magnesia, recomendado por Espeusipo. Como sabemos, al final fue designado Aristóteles.

[14] Así lo indican los MSS. Γ y Δ; los demás destinan la carta a Filipo.

[15] Presentan dificultades las palabras del parágrafo 11 atta sín*e* (= algo achacosa), así como el término ligyr*ó*taton (parágrafo 4), (= el más agudo en el trato), único en toda la literatura griega.

[16] A favor BLASS, JEBB, DRERUP y MATHIEU; en contra WILAMOWITZ y MÜNSCHER.

[17] Así se dice en la Vida de los diez oradores del PSEUDO-PLUTARCO (cf. tomo I).

de Queronea y el poco patriotismo de un ateniense que escribe al vencedor de su patria en términos tan elogiosos[18].

Además de estas nueve cartas tenemos noticias de una más, no conservada, destinada a Alejandro de Feras[19]. Alguna pretendida carta de Isócrates, incorporada en las ediciones modernas, no debe ser tenida en consideración[20].

Señalaremos, por último, que, al igual que hicimos en los discursos, mantenemos el mismo orden de la edición de MATHIEU-BRÉMOND; en cuanto al número romano que acompaña a cada carta, es el correspondiente a la clasificación de WOLF.



[18] MATHIEU, Isocrate…, IV, págs. 180-183, demuestra convincentemente la autenticidad de la carta.

[19] La noticia de esta carta la transmite ESPEUSIPO. Su fecha podría ser el año 367 a. C., después de que Alejandro sucediera a Polidoro, hermano y sucesor de Jasón.

[20] Tal ocurre con una pretendida segunda carta a Dionisio de Siracusa, incluida en la edición de WOLF con el número IX, mientras que la auténtica carta IX, que WOLF no conoció, fue recogida por VON AUGEN en la edición de 1782.

CARTA I

A DIONISIO

[1] Ἰσοκράτης Διονυσίῳ χαιρεῖν

εἰ μὲν νεώτερος ἦν, οὐκ ἂν ἐπιστολὴν ἔπεμπον, ἀλλ᾽ αὐτὸς ἄν σοι πλεύσας ἐνταῦθα διελέχθην: ἐπειδὴ δ᾽ οὐ κατὰ τοὺς αὐτοὺς χρόνους ὅ τε τῆς ἡλικίας τῆς ἐμῆς καιρὸς καὶ τῶν σῶν πραγμάτων συμβέβηκεν, ἀλλ᾽ ἐγὼ μὲν προαπείρηκα, τὰ δὲ πράττεσθαι νῦν ἀκμὴν εἴληφεν, ὡς οἷόν τ᾽ ἐστὶν ἐκ τῶν παρόντων, οὕτω σοι πειράσομαι δηλῶσαι περὶ αὐτῶν.

1 Si fuera más joven no te enviaría una carta sino que navegaría ahí para charlar contigo. Pero como no han sucedido simultáneamente el mejor momento de mi edad y el de tus asuntos, sino que yo me encuentro desfallecido ahora que tus cosas han alcanzado la madurez para realizarse[21], intentaré aclararte mi pensamiento sobre ellas, en la medida posible desde las circunstancias presentes.

[2] οἶδα μὲν οὖν ὅτι τοῖς συμβουλεύειν ἐπιχειροῦσι πολὺ διαφέρει μὴ διὰ γραμμάτων ποιεῖσθαι τὴν συνουσίαν ἀλλ᾽ αὐτοὺς πλησιάσαντας, οὐ μόνον ὅτι περὶ τῶν αὐτῶν πραγμάτων ῥᾷον ἄν τις παρὼν πρὸς παρόντα φράσειν ἢ δι᾽ ἐπιστολῆς δηλώσειεν, οὐδ᾽ ὅτι πάντες τοῖς λεγομένοις μᾶλλον ἢ τοῖς γεγραμμένοις πιστεύουσι, καὶ τῶν μὲν ὡς εἰσηγημάτων, τῶν δ᾽ ὡς ποιημάτων ποιοῦνται τὴν ἀκρόασιν:

2 Sé que a quienes intentan aconsejar les conviene más tratar no por escrito sino personalmente, no sólo porque sobre unos mismos temas cualquiera hablaría con más facilidad cara a cara que a través de una carta, ni porque todos ponen más confianza en las palabras que en los textos, y escuchan las primeras como opiniones y los segundos como creaciones literarias[22].

[3] ἔτι δὲ πρὸς τούτοις ἐν μὲν ταῖς συνουσίαις ἢν ἀγνοηθῇ τι τῶν λεγομένων ἢ μὴ πιστευθῇ, παρὼν ὁ τὸν λόγον διεξιὼν ἀμφοτέροις τούτοις ἐπήμυνεν, ἐν δὲ τοῖς ἐπιστελλομένοις καὶ γεγραμμένοις ἤν τι συμβῇ τοιοῦτον, οὐκ ἔστιν ὁ διορθώσων: ἀπόντος γὰρ τοῦ γράψαντος ἔρημα τοῦ βοηθήσοντός ἐστιν. οὐ μὴν ἀλλ᾽ ἐπειδὴ σὺ μέλλεις αὐτῶν ἔσεσθαι κριτής, πολλὰς ἐλπίδας ἔχω φανήσεσθαι λέγοντας ἡμᾶς τι τῶν δεόντων: ἡγοῦμαι γὰρ ἁπάσας ἀφέντα σε τὰς δυσχερείας τὰς προειρημένας αὐταῖς ταῖς πράξεσι προσέξειν τὸν νοῦν.

3 Además de esto, en las reuniones, si algo de lo que se dice no se entiende o no se cree, al estar presente el orador defiende ambas cosas, pero en las cartas y escritos si ocurriera algo parecido, no hay quien lo enderece. Pues, ausente el escritor, quedan faltas de defensor. A pesar de todo, si tú quieres ser juez de ellas, tengo muchas esperanzas en que se verá que nosotros decimos algo conveniente. Pienso, en efecto, que dejando a un lado todas las dificultades antedichas, tú aplicarás tu atención a los propios hechos.

[4] καίτοι τινὲς ἤδη με τῶν σοὶ πλησιασάντων ἐκφοβεῖν ἐπεχείρησαν, λέγοντες ὡς σὺ τοὺς μὲν κολακεύοντας τιμᾶς, τῶν δὲ συμβουλευόντων καταφρονεῖς. ἐγὼ δ᾽ εἰ μὲν

4 Cierto que algunos de los que tuvieron trato contigo intentaron asustarme diciendo que tú honras a los aduladores, pero desprecias a los consejeros[23]. Si hubiera aceptado esas palabras

[21] Dionisio ha terminado su guerra contra los cartagineses y Esparta, derrotada en Leuctra el año 371 a. C., ya no es la potencia hegemónica de Grecia. Esta primacía puede tomarla ahora Dionisio.

[22] Lo mismo en *Filipo* 25-26.

[23] MATHIEU ve aquí una alusión al primer viaje de Platón a Sicilia.

ἀπεδεχόμην τοὺς λόγους τούτους ἐκείνων, πολλὴν ἂν ἡσυχίαν εἶχον: νῦν δ᾽ οὐδεὶς ἄν με πείσειεν, ὡς οἷόν τ᾽ ἐστὶ τοσοῦτον καὶ τῇ γνώμῃ καὶ ταῖς πράξεσι διενεγκεῖν, ἂν μή τις τῶν μὲν μαθητής, τῶν δ᾽ ἀκροατής, τῶν δ᾽ εὑρετὴς γένηται, καὶ πανταχόθεν προσαγάγηται καὶ συλλέξηται, δι᾽ ὧν οἷόν τ᾽ ἐστὶν ἀσκῆσαι τὴν αὑτοῦ διάνοιαν.

estaría muy tranquilo. Pero ahora nadie me persuadiría de que haya sido posible sobresalir tanto en pensamiento y hazañas sin haber sido discípulo de unos, oyente de otros, descubridor de algunas cosas y sin haber admitido y reunido de todas partes aquello que hace viable el ejercicio de la propia inteligencia.

[5] ἐπήρθην μὲν οὖν ἐπιστέλλειν σοι διὰ ταῦτα. λέγειν δὲ μέλλω περὶ μεγάλων πραγμάτων καὶ περὶ ὧν οὐδενὶ τῶν ζώντων ἀκοῦσαι μᾶλλον ἢ σοὶ προσήκει. καὶ μὴ νόμιζέ με προθύμως οὕτω σε παρακαλεῖν, ἵνα γένῃ συγγράμματος ἀκροατής: οὐ γὰρ οὔτ᾽ ἐγὼ τυγχάνω φιλοτίμως διακείμενος πρὸς τὰς ἐπιδείξεις οὔτε σὺ λανθάνεις ἡμᾶς ἤδη πλήρης ὢν τῶν τοιούτων.

5 Por eso me decidí a escribirte. Voy a hablar de asuntos de la mayor importancia, que a ti te conviene escuchar más que a ningún hombre. Y no creas que te invito con tanta resolución para que escuches una obra retórica. Porque ni yo soy muy aficionado a estos alardes ni tampoco desconocemos que tú ya estás harto de exposiciones semejantes.

[6] πρὸς δὲ τούτοις κἀκεῖνο πᾶσι φανερόν, ὅτι τοῖς μὲν ἐπιδείξεως δεομένοις αἱ πανηγύρεις ἁρμόττουσιν, ἐκεῖ γὰρ ἄν τις ἐν πλείστοις τὴν αὑτοῦ δύναμιν διασπείρειεν, τοῖς δὲ διαπράξασθαί τι βουλομένοις πρὸς τοῦτον διαλεκτέον, ὅστις τάχιστα μέλλει τὰς πράξεις ἐπιτελεῖν τὰς ὑπὸ τοῦ λόγου δηλωθείσας.

6 Además, todos saben que son las fiestas solemnes las que armonizan con quienes piden un alarde oratorio —pues allí cualquiera podría esparcir su talento ante muchos— pero quienes desean lograr algo deben dirigirse a la persona que con rapidez realizará las empresas expuestas en su discurso.

[7] εἰ μὲν οὖν μιᾷ τινι τῶν πόλεων εἰσηγούμην, πρὸς τοὺς ἐκείνης προεστῶτας τοὺς λόγους ἂν ἐποιούμην: ἐπειδὴ δ᾽ ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας παρεσκεύασμαι συμβουλεύειν, πρὸς τίν᾽ ἂν δικαιότερον διαλεχθείην ἢ πρὸς τὸν πρωτεύοντα τοῦ γένους καὶ μεγίστην ἔχοντα δύναμιν;

7 Si hiciera mi recomendación a una sola de las ciudades, hablaría a sus jefes. Pero como me dispongo a aconsejar sobre la salvación de los griegos, ¿a quién me dirigiría con más justicia que al que es el primero de nuestra raza y poseedor del mayor poder?

[8] καὶ μὴν οὐδ᾽ ἀκαίρως φανησόμεθα μεμνημένοι περὶ τούτων. ὅτε μὲν γὰρ Λακεδαιμόνιοι τὴν ἀρχὴν εἶχον, οὐ ῥᾴδιον ἦν ἐπιμεληθῆναί σοι τῶν περὶ τὸν τόπον τὸν ἡμέτερον, οὐδὲ τούτοις ἐναντία πράττειν ἅμα καὶ Καρχηδονίοις πολεμεῖν: ἐπειδὴ δὲ Λακεδαιμόνιοι μὲν οὕτω πράττουσιν ὥστ᾽ ἀγαπᾶν, ἢν τὴν χώραν τὴν αὑτῶν ἔχωσιν, ἡ δ᾽ ἡμετέρα πόλις ἡδέως ἂν αὐτήν σοι παράσχοι συναγωνιζομένην, εἴ τι πράττοις ὑπὲρ τῆς Ἑλλάδος ἀγαθόν, πῶς ἂν παραπέσοι καλλίων καιρὸς τοῦ νῦν σοι παρόντος;

8 Se verá también que no es inoportuno que recordemos esto. Cuando los lacedemonios tenían el imperio, no era fácil que tú te preocuparas de nuestro país, ni que actuaras contra los lacedemonios al mismo tiempo que luchabas contra los cartagineses. Pero después que los lacedemonios se encuentran en tal situación que se contentan con mantener su propio territorio y nuestra ciudad gustosamente se ofrece a combatir a tu lado si haces algún bien a Grecia, ¿cómo podría ocurrir una oportunidad más hermosa que la que se te presenta ahora?

[9] καὶ μὴ θαυμάσῃς, εἰ μήτε δημηγορῶν μήτε στρατηγῶν μήτ᾽ ἄλλως δυνάσης ὢν οὕτως ἐμβριθὲς αἴρομαι πρᾶγμα καὶ δυοῖν ἐπιχειρῶ τοῖν μεγίστοιν, ὑπέρ τε τῆς Ἑλλάδος λέγειν καὶ σοὶ συμβουλεύειν. ἐγὼ γὰρ τοῦ μὲν πράττειν τι τῶν κοινῶν εὐθὺς ἐξέστην, δι᾽ ἃς δὲ προφάσεις πολὺ ἂν ἔργον εἴη μοι λέγειν, τῆς δὲ παιδεύσεως τῆς τῶν μὲν μικρῶν καταφρονούσης, τῶν δὲ μεγάλωι ἐφικνεῖσθαι πειρωμένης οὐκ ἂν φανείην ἄμοιρος γεγενημένος.

9 No te sorprendas de que sin ser un orador popular, ni un general, ni tener ningún otro cargo[24], tome sobre mí una tarea tan pesada e intente dos cosas importantes, como son hablar en favor de Grecia y aconsejarte. Pues yo me mantuve alejado de la actuación en los asuntos públicos —sería para mí un gran esfuerzo decir por qué motivos—[25], pero se vería que no he estado privado de la educación que desprecia lo pequeño e intenta acercarse a lo importante.

[10] ὥστ᾽ οὐδὲν ἄτοπον, εἴ τι τῶν συμφερόντων ἰδεῖν ἂν μᾶλλον δυνηθείην τῶν εἰκῇ μὲν πολιτευομένων, μεγάλην δὲ δόξαν εἰληφότων δηλώσομεν δ᾽ οὐκ εἰς ἀναβολάς, εἴ τινος ἄξιοι τυγχάνομεν ὄντες, ἀλλ᾽ ἐκ τῶν ῥηθήσεσθαι μελλόντων ...

10 De manera que no es absurdo que pudiera ver lo que conviene mejor que quienes gobiernan a la ligera y han obtenido un gran prestigio. Demostraremos si valemos algo no con dilaciones sino a través de lo que vamos a decir.

[24] Lo mismo en *Filipo* 81, donde Isócrates hace referencia a esta carta.

[25] Nueva alusión de Isócrates a sus pocas condiciones para la oratoria pública; cf. *Panatenaico* 9-10, *Filipo* 81, etc. También puede referirse a su desinterés por la política ateniense; cf. nota 8 al discurso *Sobre el cambio de fortunas*.

CARTA VI

A LOS HIJOS DE JASÓN
Τοῖς Ἰάσονος παισίν

[1] ἀπήγγειλέ τίς μοι τῶν πρεσβευσάντων ὡς ὑμᾶς ὅτι καλέσαντες αὐτὸν ἄνευ τῶν ἄλλων ἐρωτήσαιτ᾽ εἰ πεισθείην ἂν ἀποδημῆσαι καὶ διατρῖψαι παρ᾽ ὑμῖν. ἐγὼ δ᾽ ἕνεκα μὲν τῆς Ἰάσονος καὶ Πολυαλκοῦς ξενίας ἡδέως ἂν ἀφικοίμην ὡς ὑμᾶς: οἶμαι γὰρ ἂν τὴν ὁμιλίαν τὴν γενομένην ἅπασιν ἡμῖν συνενεγκεῖν: ἀλλὰ γὰρ ἐμποδίζει με πολλά,

1 Uno de los embajadores me comunicó que vosotros le habíais llamado aparte de los otros y le habíais preguntado si yo me dejaría convencer para irme de mi país y vivir con vosotros. Con gusto iría a vuestro lado a causa de mis relaciones de hospitalidad con Jasón y Polialco[26]. Pues creo que si se produjera esta reunión nos aprovecharía a todos nosotros. Sin embargo, muchas cosas me lo impiden,

[2] μάλιστα μὲν τὸ μὴ δύνασθαι πλανᾶσθαι καὶ τὸ μὴ πρέπειν ἐπιξενοῦσθαι τοῖς τηλικούτοις, ἔπειθ᾽ ὅτι πάντες οἱ πυθόμενοι τὴν ἀποδημίαν δικαίως ἄν μου καταφρονήσειαν, εἰ προῃρημένος τὸν ἄλλον χρόνον ἡσυχίαν ἄγειν ἐπὶ γήρως ἀποδημεῖν ἐπιχειροίην, ὅτ᾽ εἰκὸς ἦν, εἰ καὶ πρότερον ἄλλοθί που διέτριβον, νῦν οἴκαδε σπεύδειν, οὕτως ὑπογυίου μοι τῆς τελευτῆς οὔσης.

2 sobre todo el no poder viajar y la inconveniencia de que los de mi edad vivan en el extranjero, porque todos los que se enteraran de mi marcha con justicia me despreciarían, si después de haber elegido en otro tiempo mantenerme tranquilo, ahora, en la vejez, decidiera marcharme. Lo lógico sería que aunque antes hubiera vivido en cualquier parte, ahora deseara volver a casa, estando tan cerca el final de mi vida[27].

[3] πρὸς δὲ τούτοις φοβοῦμαι καὶ τὴν πόλιν: χρὴ γὰρ τἀληθῆ λέγειν. ὁρῶ γὰρ τὰς συμμαχίας τὰς πρὸς αὐτὴν γιγνομένας ταχέως διαλυομένας. εἰ δή τι συμβαίη καὶ πρὸς ὑμᾶς τοιοῦτον, εἰ καὶ τὰς αἰτίας καὶ τοὺς κινδύνους διαφυγεῖν δυνηθείην, ὃ χαλεπόν ἐστιν, ἀλλ᾽ οὖν αἰσχυνθείην ἄν, εἴτε διὰ τὴν πόλιν δόξαιμί τισιν ὑμῶν ἀμελεῖν, εἴτε δι᾽ ὑμᾶς τῆς πόλεως ὀλιγωρεῖν. μὴ κοινοῦ δὲ τοῦ συμφέροντος ὄντος οὐκ οἶδ᾽ ὅπως ἂν ἀμφοτέροις ἀρέσκειν δυνηθείην. αἱ μὲν οὖν αἰτίαι, δι᾽ ἃς οὐκ ἔξεστί μοι ποιεῖν ἃ βούλομαι, τοιαῦται συμβεβήκασιν.

3 Además de estas consideraciones, temo por mi ciudad, ya que es preciso decir la verdad. Veo, en efecto, que las alianzas hechas por ella se están disolviendo rápidamente. Si ocurriera algo parecido con vosotros, aunque pudiera escapar a las acusaciones y peligros, lo que es difícil, a pesar de todo sentiría vergüenza si diera a algunos la impresión de que me despreocupo de vosotros por causa de mi ciudad o de que la menosprecio por causa vuestra. Al no ser comunes nuestros intereses, no sé de qué forma podría satisfacer a ambos. Tales han sido los motivos por los que no me es posible hacer lo que quiero.

---

[26] El mejor manuscrito de Isócrates, el *Urbinas*, transmite Polyalkous, genitivo de un nombre femenino y masculino. MATHIEU, *Isocrate*…, IV, pág. 169, piensa que se trataría de la primera esposa de Jasón, y los destinatarios de esta carta serían los hijos de un matrimonio anterior de esta mujer, hijastros, por tanto, de Jasón. Hay, sin embargo, un testimonio de HARPOCRATIÓN, según el cual el antecesor de Jasón en el poder habría sido un tal Polialces, del que no tenemos más que esta referencia.

[27] Isócrates ya nos tiene acostumbrados a las constantes quejas sobre su mala salud, su avanzada edad, etc.

[4] οὐ μὴν περὶ τῶν ἐμαυτοῦ μόνον ἐπιστείλας οἶμαι δεῖν ἀμελῆσαι τῶν ὑμετέρων, ἀλλ᾽ ἅπερ ἂν παραγενόμενος πρὸς ὑμᾶς διελέχθην, πειράσομαι καὶ νῦν περὶ τῶν αὐτῶν τούτων ὅπως ἂν δύνωμαι διεξελθεῖν. μηδὲν δ᾽ ὑπολάβητε τοιοῦτον, ὡς ἄρ᾽ ἐγὼ ταύτην ἔγραψα τὴν ἐπιστολὴν οὐχ ἕνεκα τῆς ὑμετέρας ξενίας, ἀλλ᾽ ἐπίδειξιν ποιήσασθαι βουλόμενος. οὐ γὰρ εἰς τοῦθ᾽ ἥκω μανίας ὥστ᾽ ἀγνοεῖν ὅτι κρείττω μὲν γράψαι τῶν πρότερον διαδεδομένων οὐκ ἂν δυναίμην, τοσοῦτον τῆς ἀκμῆς ὑστερῶν, χείρω δ᾽ ἐξενεγκὼν πολὺ φαυλοτέραν ἂν λάβοιμι δόξαν τῆς νῦν ἡμῖν ὑπαρχούσης.

4 No creo que por haberos escrito sólo de mis asuntos deba despreocuparme de los vuestros, sino que intentaré también ahora desarrollar, en la medida en que pueda, aquellos temas que trataría si estuviera con vosotros. No penséis que yo escribí esta carta con el deseo de hacer un alarde retórico y no por mi relación de hospitalidad con vosotros. Pues no estoy tan loco como para ignorar que no podría escribir una obra mejor que las que edité anteriormente, estando tan lejos del vigor de mi edad, y que si la hiciese peor, ganaría una fama muy inferior a la que ahora me corresponde.

[5] ἔπειτ᾽ εἴπερ ἐπιδείξει προσεῖχον τὸν νοῦν ἀλλὰ μὴ πρὸς ὑμᾶς ἐσπούδαζον, οὐκ ἂν ταύτην ἐξ ἁπασῶν προειλόμην τὴν ὑπόθεσιν, περὶ ἧς χαλεπόν ἐστιν ἐπιεικῶς εἰπεῖν, ἀλλὰ πολὺ καλλίους ἑτέρας ἂν εὗρον καὶ μᾶλλον λόγον ἐχούσας. ἀλλὰ γὰρ οὔτε πρότερον οὐδὲ πώποτ᾽ ἐφιλοτιμήθην ἐπὶ τούτοις, ἀλλ᾽ ἐφ᾽ ἑτέροις μᾶλλον, ἃ τοὺς πολλοὺς διαλέληθεν, οὔτε νῦν ἔχων ταύτην τὴν διάνοιαν ἐπραγματευσάμην,

5 Además, si me hubiera aplicado a una obra retórica y no a distraeros, no habría elegido de entre todos este tema, sobre el que es difícil hablar con conveniencia, sino que habría encontrado otros muchos más hermosos y más propios de un discurso. Porque ni antes ni nunca puse mi ambición en esta clase de obras, sino en otras que a muchos les han pasado desapercibidas. Tampoco ahora trabajé con esta intención,

[6] ἀλλ᾽ ὑμᾶς μὲν ὁρῶν ἐν πολλοῖς καὶ μεγάλοις πράγμασιν ὄντας, αὐτὸς δ᾽ ἀποφήνασθαι βουλόμενος ἣν ἔχω γνώμην περὶ αὐτῶν. ἡγοῦμαι δὲ συμβουλεύειν μὲν ἀκμὴν ἔχειν, αἱ γὰρ ἐμπειρίαι παιδεύουσι τοὺς τηλικούτους καὶ ποιοῦσι μᾶλλον τῶν ἄλλων δύνασθαι καθορᾶν τὸ βέλτιστον, εἰπεῖν δὲ περὶ τῶν προτεθέντων ἐπιχαρίτως καὶ μουσικῶς καὶ διαπεπονημένως οὐκέτι τῆς ἡμετέρας ἡλικίας ἐστίν, ἀλλ᾽ ἀγαπῴην ἄν, εἰ μὴ παντάπασιν ἐκλελυμένως διαλεχθείην περὶ αὐτῶν.

6 sino que al ver que estabais ocupados en muchos e importantes asuntos, quise mostrar la opinión que ellos me merecen. Creo que tengo madurez para aconsejar —pues las experiencias enseñan a los de mi edad y hacen que podamos distinguir lo mejor más que otros—, pero hablar de un tema propuesto de manera atractiva, artística y laboriosa no es propio de mi edad, sino que me daría por satisfecho si lo tratara con alguna firmeza.

[7] μὴ θαυμάζετε δ᾽ ἄν τι φαίνωμαι λέγων ὧν πρότερον ἀκηκόατε: τῷ μὲν γὰρ ἴσως ἄκων ἂν ἐντύχοιμι, τὸ δὲ καὶ προειδώς, εἰ πρέπον εἰς τὸν λόγον εἴη, προσλάβοιμι:

καὶ γὰρ ἂν ἄτοπος εἴην, εἰ τοὺς ἄλλους ὁρῶν τοῖς ἐμοῖς χρωμένους αὐτὸς μόνος ἀπεχοίμην τῶν ὑπ᾽ ἐμοῦ πρότερον εἰρημένων. τούτου δ᾽

7 No os admiréis de que se me vea hablando de cosas que ya antes habéis oído. Pues con unas quizás me encuentro involuntariamente, pero otras, después de pensar, las adapto si conviene al discurso.
Sería un insensato si, viendo a otros servirse de mis obras, fuera yo el único que me abstuviese de lo que había dicho con anterioridad[28]. Lo advertí

[28] Lo mismo en *Sobre el cambio de fortunas* 74, y *Filipo* 93-94.

ἕνεκα ταῦτα προεῖπον, ὅτι τὸ πρῶτον ἐπιφερόμενον ἓν τῶν τεθρυλημένων ἐστίν.

porque lo que primero se ofrece es una de las cosas que se repiten una y otra vez.

[8] εἴθισμαι γὰρ λέγειν πρὸς τοὺς περὶ τὴν φιλοσοφίαν τὴν ἡμετέραν διατρίβοντας ὅτι τοῦτο πρῶτον δεῖ σκέψασθαι, τί τῷ λόγῳ καὶ τοῖς τοῦ λόγου μέρεσι διαπρακτέον ἐστίν: ἐπειδὰν δὲ τοῦθ᾽ εὕρωμεν καὶ διακριβωσώμεθα, ζητητέον εἶναί φημι τὰς ἰδέας δι᾽ ὧν ταῦτ᾽ ἐξεργασθήσεται καὶ λήψεται τέλος ὅπερ ὑπεθέμεθα. καὶ ταῦτα φράζω μὲν ἐπὶ τῶν λόγων, ἔστι δὲ τοῦτο στοιχεῖον καὶ κατὰ τῶν ἄλλων ἁπάντων καὶ κατὰ τῶν ὑμετέρων πραγμάτων. οὐδὲν γὰρ οἷόν τ᾽ ἐστὶ πραχθῆναι νοῦν ἐχόντως,

8 Acostumbro a decir a los que se dedican a nuestra filosofía[29], que lo primero que se debe examinar es cómo realizar el discurso y sus partes. Una vez que hayamos descubierto esto y lo hayamos examinado minuciosamente, sostengo que hay que buscar los medios con los que ejecutaremos y daremos fin a lo que nos propusimos. Y esto que digo sobre los discursos, es también lo fundamental en todas las demás actividades, así como en vuestros asuntos. Porque no es posible ejecutar nada con inteligencia,

[9] ἂν μὴ τοῦτο πρῶτον μετὰ πολλῆς προνοίας λογίσησθε καὶ βουλεύσησθε, πῶς χρὴ τὸν ἐπίλοιπον χρόνον ὑμῶν αὐτῶν προστῆναι καὶ τίνα βίον προελέσθαι καὶ ποίας δόξης ὀριγνηθῆναι καὶ ποτέρας τῶν τιμῶν ἀγαπῆσαι, τὰς παρ᾽ ἑκόντων γιγνομένας ἢ τὰς παρ᾽ ἀκόντων τῶν πολιτῶν: ταῦτα δὲ διορισαμένους τότ᾽ ἤδη τὰς πράξεις τὰς καθ᾽ ἑκάστην τὴν ἡμέραν σκεπτέον, ὅπως συντενοῦσι πρὸς τὰς ὑποθέσεις τὰς ἐξ ἀρχῆς γενομένας.

9 si primero no calculáis y deliberáis con mucha previsión cómo debéis gobernaros en el futuro, qué vida preferir, qué prestigio desear y qué honores pretender: los que vuestros conciudadanos os concedan voluntariamente o los que resulten sin que ellos lo quieran. Cuando hayáis examinado estas cosas, ya debéis observar las actividades cotidianas para que tiendan al objetivo que tuvieron desde el principio.

[10] καὶ τοῦτον μὲν τὸν τρόπον ζητοῦντες καὶ φιλοσοφοῦντες ὥσπερ σκοποῦ κειμένου στοχάσεσθε τῇ ψυχῇ καὶ μᾶλλον ἐπιτεύξεσθε τοῦ συμφέροντος: ἂν δὲ μηδεμίαν ποιήσησθε τοιαύτην ὑπόθεσιν, ἀλλὰ τὸ προσπῖπτον ἐπιχειρῆτε πράττειν, ἀναγκαῖόν ἐστιν ὑμᾶς ταῖς διανοίαις πλανᾶσθαι καὶ πολλῶν διαμαρτάνειν πραγμάτων.

10 Al buscar y filosofar de esta manera acertaréis con vuestra alma como si apuntarais a un blanco y encontraréis mejor lo que os conviene. Pero si no os proponéis este objetivo, sino que intentáis actuar a la ligera, por fuerza os equivocaréis en vuestros pensamientos y fallaréis muchos asuntos.

[11] ἴσως ἂν οὖν τις τῶν εἰκῇ ζῆν προῃρημένων τοὺς μὲν τοιούτους λογισμοὺς διασύρειν ἐπιχειρήσειεν, ἀξιώσειε δ᾽ ἂν ἤδη με συμβουλεύειν περὶ τῶν προειρημένων. ἔστιν οὖν οὐκ ὀκνητέον ἀποφήνασθαι περὶ αὐτῶν ἃ τυγχάνω γιγνώσκων. ἐμοὶ γὰρ αἱρετώτερος ὁ βίος εἶναι δοκεῖ καὶ βελτίων ὁ τῶν ἰδιωτευόντων ἢ τῶν τυραννούντων, καὶ τὰς τιμὰς ἡδίους

11 Quizá alguno de los que han elegido vivir al azar intentaría ridiculizar estos pensamientos y me pediría que aconsejara ya sobre lo que antes dije. Por eso no hay que tardar en aclarar lo que sé sobre esto. A mí me parece preferible y mejor la manera de vivir de los ciudadanos corrientes a la de los tiranos, y considero más gratos los honores que existen en las democracias a los de las

[29] Filosofía igual a educación, cultura.

ἡγοῦμαι τὰς ἐν ταῖς πολιτείαις ἢ τὰς ἐν ταῖς μοναρχίαις: καὶ περὶ τούτων λέγειν ἐπιχειρήσω.

monarquías. Y es sobre eso sobre lo que intentaré hablar.

[12] καίτοι μ᾽ οὐ λέληθεν ὅτι πολλοὺς ἕξω τοὺς ἐναντιουμένους, καὶ μάλιστα τοὺς περὶ ὑμᾶς ὄντας. οἶμαι γὰρ οὐχ ἥκιστα τούτους ἐπὶ τὴν τυραννίδα παροξύνειν ὑμᾶς: σκοποῦσι γὰρ οὐ πανταχῇ τὴν φύσιν τοῦ πράγματος, ἀλλὰ πολλὰ παραλογίζονται σφᾶς αὐτούς. τὰς μὲν γὰρ ἐξουσίας καὶ τὰ κέρδη καὶ τὰς ἡδονὰς ὁρῶσι καὶ τούτων ἀπολαύσεσθαι προσδοκῶσι, τὰς δὲ ταραχὰς καὶ τοὺς φόβους καὶ τὰς συμφορὰς τὰς τοῖς ἄρχουσι συμπιπτούσας καὶ τοῖς φίλοις αὐτῶν οὐ θεωροῦσιν, ἀλλὰ πεπόνθασιν ὅπερ οἱ τοῖς αἰσχίστοις καὶ παρανομωτάτοις τῶν ἔργων ἐπιχειροῦντες.

12 Y no se me ha olvidado que tendré muchos oponentes, sobre todo de entre los vuestros. Creo que éstos no son los que menos os empujarán a la tiranía. Pues ven la naturaleza de esta forma de gobierno sólo parcialmente, y se engañan mucho en sus razonamientos entre ellos mismos. Ven, en efecto, los poderes, ganancias y placeres, y aspiran a disfrutarlos, pero no consideran con atención los desórdenes, los miedos y las desgracias que les ocurren a los gobernantes y a sus amigos. Les ocurre lo mismo que a quienes intentan las acciones más vergonzosas e ilegales.

[13] καὶ γὰρ ἐκεῖνοι τὰς μὲν πονηρίας τὰς τῶν πραγμάτων οὐκ ἀγνοοῦσιν, ἐλπίζουσι δ᾽ ὅσον μὲν ἀγαθόν ἐστιν ἐν αὐτοῖς, τοῦτο μὲν ἐκλήψεσθαι, τὰ δὲ δεινὰ πάντα τὰ προσόντα τῷ πράγματι καὶ τὰ κακὰ διαφεύξεσθαι, καὶ διοικήσειν τὰ περὶ σφᾶς αὐτοὺς οὕτως, ὥστε τῶν μὲν κινδύνων εἶναι πόρρω, τῶν δ᾽ ὠφελειῶν ἐγγύς.

13 Ésos no ignoran la maldad de sus actos, pero esperan apoderarse de cuanto bueno haya en ellos, escapar a todos los daños y males que se derivan de esta acción y organizar su vida de manera que estén lejos del peligro y cerca del provecho.

[14] τοὺς μὲν οὖν ταύτην ἔχοντας τὴν διάνοιαν ζηλῶ τῆς ῥᾳθυμίας, αὐτὸς δ᾽ αἰσχυνθείην ἄν, εἰ συμβουλεύων ἑτέροις ἐκείνων ἀμελήσας τὸ ἐμαυτῷ συμφέρον ποιοίην καὶ μὴ παντάπασιν ἔξω θεὶς ἐμαυτὸν καὶ τῶν ὠφελειῶν καὶ τῶν ἄλλων ἁπάντων τὰ βέλτιστα παραινοίην.
ὡς οὖν ἐμοῦ ταύτην ἔχοντος τὴν γνώμην, οὕτω μοι προσέχετε τὸν νοῦν. ...

14 A quienes tienen esta manera de pensar les envidio su despreocupación, pero yo me avergonzaría de que, al aconsejar a otros, me olvidara de ellos para pensar en mi provecho, en lugar de recomendarles lo mejor, situándome totalmente fuera de ventajas y de todo lo demás. Como es esta la opinión que yo tengo, atendedme…

CARTA IX

A ARQUIDAMO
Ἀρχιδάμῳ

[1] εἰδώς, ὦ Ἀρχίδαμε, πολλοὺς ὡρμημένους ἐγκωμιάζειν σὲ καὶ τὸν πατέρα καὶ τὸ γένος ὑμῶν, εἱλόμην τοῦτον μὲν τὸν λόγον, ἐπειδὴ λίαν ῥᾴδιος ἦν, ἐκείνοις παραλιπεῖν, αὐτὸς δέ σε διανοοῦμαι παρακαλεῖν ἐπὶ στρατηγίας καὶ στρατείας οὐδὲν ὁμοίας ταῖς νῦν ἐνεστηκυίαις, ἀλλ᾽ ἐξ ὧν μεγάλων ἀγαθῶν αἴτιος γενήσει καὶ τῇ πόλει τῇ σαυτοῦ καὶ τοῖς Ἕλλησιν ἅπασιν.

1 Arquidamo, al enterarme de que muchos se disponen a elogiarte a ti, a tu padre y a vuestra familia, preferí dejar a otros este tipo de discursos por ser muy fáciles. Yo, en cambio, pienso invitarte a unos mandos militares y campañas que no se parecen a las emprendidas ahora, sino que te harán responsable de los mayores bienes para tu propia ciudad y para todos los griegos.

[2] ταύτην δ᾽ ἐποιησάμην τὴν αἵρεσιν, οὐκ ἀγνοῶν τῶν λόγων τὸν εὐμεταχειριστότερον, ἀλλ᾽ ἀκριβῶς εἰδὼς ὅτι πράξεις μὲν εὑρεῖν καλὰς καὶ μεγάλας καὶ συμφερούσας χαλεπὸν καὶ σπάνιόν ἐστιν, ἐπαινέσαι δὲ τὰς ἀρετὰς τὰς ὑμετέρας ῥᾳδίως οἷός τ᾽ ἂν ἐγενόμην. οὐ γὰρ ἔδει με παρ᾽ ἐμαυτοῦ πορίζεσθαι τὰ λεχθησόμενα περὶ αὐτῶν, ἀλλ᾽ ἐκ τῶν ὑμῖν πεπραγμένων τοσαύτας ἂν καὶ τοιαύτας ἀφορμὰς ἔλαβον ὥστε τὰς περὶ τῶν ἄλλων εὐλογίας μηδὲ κατὰ μικρὸν ἐναμίλλους γενέσθαι τῇ περὶ ὑμᾶς ῥηθείσῃ.

2 Tomé esta decisión no porque ignorara qué discurso era el más cómodo, antes bien, sabía perfectamente que es difícil y raro hallar las acciones hermosas, importantes y convenientes, mientras que me sería fácil aplaudir vuestras virtudes. No necesitaría, en efecto, inventarme lo que iba a decir, sino que vuestras hazañas me proporcionarían tales y tantos pretextos como para que no pudieran compararse ni un poco los elogios que se hacen a otros con lo que diría de vosotros.

[3] πῶς γὰρ ἄν τις ἢ τὴν εὐγένειαν ὑπερεβάλετο τῶν γεγονότων ἀφ᾽ Ἡρακλέους καὶ Διὸς ἣν πάντες ἴσασι μόνοις ὑμῖν ὁμολογουμένως ὑπάρχουσαν, ἢ τὴν ἀρετὴν τῶν ἐν Πελοποννήσῳ τὰς Δωρικὰς πόλεις κτισάντων καὶ τὴν χώραν ταύτην κατασχόντων, ἢ τὸ πλῆθος τῶν κινδύνων καὶ τῶν τροπαίων τῶν διὰ τὴν ὑμετέραν ἡγεμονίαν καὶ βασιλείαν σταθέντων;

3 ¿Cómo alguien superaría la nobleza de nacimiento de los descendientes de Heracles y Zeus, que, como todos saben, sólo a vosotros está reconocida[30], o la virtud de quienes fundaron en el Peloponeso las ciudades dorias y retienen ese territorio, o el gran número de peligros y de trofeos levantados gracias a vuestra hegemonía y realeza?

[4] τίς δ᾽ ἂν ἠπόρησε, διεξιέναι βουληθεὶς τὴν ἀνδρίαν ὅλης τῆς πόλεως καὶ σωφροσύνην καὶ πολιτείαν τὴν ὑπὸ τῶν προγόνων τῶν ὑμετέρων συνταχθεῖσαν; πόσοις δ᾽ ἂν λόγοις ἐξεγένετο χρήσασθαι περὶ τὴν φρόνησιν τοῦ σοῦ πατρὸς καὶ τὴν ἐν ταῖς συμφοραῖς διοίκησιν καὶ τὴν μάχην τὴν ἐν τῇ πόλει γενομένην ἧς ἡγεμὼν σὺ

4 ¿Quién carecería de temas, si quisiera exponer el valor de toda la ciudad y la prudencia y régimen político establecido por vuestros antepasados? ¿Cuántos discursos habría que dedicar a la inteligencia de tu padre, a su gobierno en medio de las desgracias, al combate que se produjo en vuestra ciudad del que tú

[30] Cf. *Panegírico* 62, y *Arquidamo* 8.

καταστὰς καὶ μετ᾽ ὀλίγων πρὸς πολλοὺς κινδυνεύσας καὶ πάντων διενεγκὼν αἴτιος ἐγένου τῇ πόλει τῆς σωτηρίας, οὗ κάλλιον ἔργον οὐδεὶς ἂν ἐπιδείξειεν;

asumiste la dirección y después de arriesgarte contra muchos con unos pocos y sobresalir entre todos fuiste el causante de la salvación de la ciudad[31], hazaña más hermosa que la que nadie podría contar?

[5] οὔτε γὰρ πόλεις ἑλεῖν οὔτε πολλοὺς ἀποκτεῖναι τῶν πολεμίων οὕτω μέγα καὶ σεμνόν ἐστιν ὡς ἐκ τῶν τοιούτων κινδύνων σῶσαι τὴν πατρίδα, μὴ τὴν τυχοῦσαν ἀλλὰ τὴν τοσοῦτον ἐπ᾽ ἀρετῇ διενεγκοῦσαν. περὶ ὧν μὴ κομψῶς, ἀλλ᾽ ἁπλῶς διελθών, μηδὲ τῇ λέξει κοσμήσας, ἀλλ᾽ ἐξαριθμήσας μόνον καὶ χύδην εἰπὼν οὐδεὶς ὅστις οὐκ ἂν εὐδοκιμήσειεν.

5 Porque ni conquistar ciudades ni matar muchos enemigos es tan grande y señalado como salvar de tales peligros a la patria, y no a una patria cualquiera, sino a la que sobresalió tanto por su virtud. No habría nadie que no fuera celebrado aunque contara estos sucesos no con gracia sino con simplicidad, ni adornándolos con su estilo, sino sólo enumerándolos y hablando con desorden.

[6] ἐγὼ τοίνυν δυνηθεὶς ἂν καὶ περὶ τούτων ἐξαρκούντως διαλεχθῆναι, κἀκεῖνο γιγνώσκων, πρῶτον μὲν ὅτι ῥᾷόν ἐστι περὶ τῶν γεγενημένων εὐπόρως ἐπιδραμεῖν ἢ περὶ τῶν μελλόντων νουνεχόντως εἰπεῖν, ἔπειθ᾽ ὅτι πάντες ἄνθρωποι πλείω χάριν ἔχουσι τοῖς ἐπαινοῦσιν ἢ τοῖς συμβουλεύουσι, τοὺς μὲν γὰρ ὡς εὔνους ὄντας ἀποδέχονται, τοὺς δ᾽ ἂν μὴ κελευσθέντες παραινῶσιν,

6 También yo habría podido tratar estos temas con suficiencia, pues sabía que es más fácil recorrer con comodidad lo pasado que hablar inteligentemente del futuro, y, además, que todos los hombres tienen más gratitud a los que les aplauden que a quienes les aconsejan —a los primeros les acogen como personas amigas, pero si los segundos les aconsejan sin que se lo ordenen, consideran que molestan—.

[7] ἐνοχλεῖν νομίζουσιν, ἀλλ᾽ ὅμως ἅπαντα ταῦτα προειδὼς τῶν μὲν πρὸς χάριν ἂν ῥηθέντων ἀπεσχόμην, περὶ δὲ τοιούτων μέλλω λέγειν, περὶ ὧν οὐδεὶς ἂν ἄλλος τολμήσειεν, ἡγούμενος δεῖν τοὺς ἐπιεικείας καὶ φρονήσεως ἀμφισβητοῦντας μὴ τοὺς ῥᾴστους προαιρεῖσθαι τῶν λόγων, ἀλλὰ τοὺς ἐργωδεστάτους, μηδὲ τοὺς ἡδίστους τοῖς ἀκούουσιν, ἀλλ᾽ ἐξ ὧν ὠφελήσουσι καὶ τὰς πόλεις τὰς αὑτῶν τοὺς ἄλλους Ἕλληνας: ἐφ᾽ οἵσπερ ἐγὼ τυγχάνω νῦν ἐφεστηκώς.

7 A pesar de haberme dado cuenta de todo esto, voy a hablar de unos temas que ningún otro se atrevería a tratar, porque creo que quienes rivalizan por la equidad e inteligencia no deben elegir los discursos más sencillos ni más gratos para los oyentes, sino aquellos con los que ayudarán a sus propias ciudades y a los demás griegos. A esta clase de discursos me estoy dedicando ahora.

[8] θαυμάζω δὲ καὶ τῶν ἄλλων τῶν πράττειν ἢ λέγειν δυναμένων, εἰ μηδὲ πώποτ᾽ αὐτοῖς ἐπῆλθεν ἐνθυμηθῆναι περὶ τῶν κοινῶν πραγμάτων, μηδ᾽ ἐλεῆσαι τὰς τῆς Ἑλλάδος δυσπραξίας οὕτως αἰσχρῶς καὶ δεινῶς διατιθεμένης, ἧς οὐδεὶς παραλέλειπται τόπος, ὃς οὐ γέμει καὶ μεστός ἐστι πολέμου καὶ στάσεων καὶ σφαγῶν καὶ κακῶν ἀναριθμήτων: ὧν

8 Me causa admiración que otros individuos capaces de actuar o hablar nunca se hayan dedicado a reflexionar sobre los asuntos comunes a todos, ni se hayan compadecido de la desgracia de Grecia, que se encuentra en una situación tan vergonzosa y terrible. No ha quedado ningún lugar griego que no esté cargado y repleto de guerra, revueltas, matanzas

[31] El año 362 a. C., al invadir Esparta el tebano Epaminondas, Arquidamo le salió al encuentro con 100 hoplitas; cf. JENOFONTE, *Hel*. VII 5, 9.

πλεῖστον μέρος μετειλήφασιν οἱ τῆς Ἀσίας τὴν παραλίαν οἰκοῦντες, οὓς ἐν τοῖς συνθήκαις ἅπαντας ἐκδεδώκαμεν οὐ μόνον τοῖς βαρβάροις ἀλλὰ καὶ τῶν Ἑλλήνων τοῖς τῆς μὲν φωνῆς τῆς ἡμετέρας κοινωνοῦσι, τῷ δὲ τρόπῳ τῷ τῶν βαρβάρων χρωμένοις: οὕς,

y males innumerables[32]. La mayor parte de estos males les ha tocado a quienes viven en la costa de Asia, pueblos que en masa según los tratados[33] hemos entregado no sólo a los bárbaros sino también a los griegos que participan de nuestra misma lengua, pero actúan de la misma manera que los bárbaros.

[9] εἰ νοῦν εἴχομεν, οὐκ ἂν περιεωρῶμεν ἀθροιζομένους οὐδ᾽ ὑπὸ τῶν τυχόντων στρατηγουμένους, οὐδὲ μείζους καὶ κρείττους συντάξεις στρατοπέδων γιγνομένας ἐκ τῶν πλανωμένων ἢ τῶν πολιτευομένων: οἳ τῆς μὲν βασιλέως χώρας μικρὸν μέρος λυμαίνονται, τὰς δὲ πόλεις τὰς Ἑλληνίδας, εἰς ἣν ἂν εἰσέλθωσιν, ἀναστάτους ποιοῦσι, τοὺς μὲν ἀποκτείνοντες, τοὺς δὲ φυγαδεύοντες,

9 Si fuéramos inteligentes no veríamos con indiferencia que éstos se agrupen y sean mandados por cualquiera, ni que se reúnan ejércitos mayores y más fuertes de desterrados que de ciudadanos. Ellos causan daño en una pequeña parte del territorio del rey, pero si atacan a alguna ciudad griega la destruyen, matan a unos, a otros los destierran y a otros les roban las fortunas.

[10] τῶν δὲ τὰς οὐσίας διαρπάζοντες, ἔτι δὲ παῖδας καὶ γυναῖκας ὑβρίζοντες, καὶ τὰς μὲν εὐπρεπεστάτας καταισχύνοντες, τῶν δ᾽ ἄλλων ἃ περὶ τοῖς σώμασιν ἔχουσι περισπῶντες, ὥσθ᾽ ἃς πρότερον οὐδὲ κεκοσμημένας ἦν ἰδεῖν τοῖς ἀλλοτρίοις, ταύτας ὑπὸ πολλῶν ὁρᾶσθαι γυμνάς, ἐνίας δ᾽ αὐτῶν ἐν ῥάκεσι περιφθειρομένας δι᾽ ἔνδειαν τῶν ἀναγκαίων.

10 Además violentan a los niños y a las mujeres, a las más hermosas las violan, a las demás les quitan lo que llevan encima, de suerte que aquellas que antes ni podían ser reconocidas por los ajenos cuando iban bien ataviadas, muchos las ven desnudas, y algunas de ellas languidecen vestidas con harapos a causa de su pobreza[34].

[11] ὑπὲρ ὧν πολὺν ἤδη χρόνον γιγνομένων οὔτε πόλις οὐδεμία τῶν προεστάναι τῶν Ἑλλήνων ἀξιουσῶν ἠγανάκτησεν, οὔτ᾽ ἀνὴρ τῶν πρωτευόντων οὐδεὶς βαρέως ἤνεγκε, πλὴν ὁ σὸς πατήρ: μόνος γὰρ Ἀγησίλαος ὧν ἡμεῖς ἴσμεν ἐπιθυμῶν ἅπαντα τὸν χρόνον διετέλεσε τοὺς μὲν Ἕλληνας ἐλευθερῶσαι, πρὸς δὲ τοὺς βαρβάρους πόλεμον ἐξενεγκεῖν. οὐ μὴν ἀλλὰ κἀκεῖνος ἑνὸς πράγματος διήμαρτεν. καὶ μὴ θαυμάσῃς,

11 Ante esta situación que se viene produciendo desde hace mucho tiempo, ninguna ciudad de las que pretenden estar al frente de los griegos se indignó, ni lo llevó a mal ningún hombre principal, salvo tu padre. Porque Agesilao fue el único, que sepamos, que pasó toda su vida con el deseo de liberar a los griegos y de llevar la guerra contra los bárbaros. Pero se equivocó en una cosa. Y no te extrañes de que,

[12] εἰ πρὸς σὲ διαλεγόμενος μνησθήσομαι τῶν οὐκ ὀρθῶς ὑπ᾽ αὐτοῦ γνωσθέντων: εἴθισμαί τε γὰρ μετὰ παρρησίας ἀεὶ ποιεῖσθαι τοὺς λόγους, καὶ δεξαίμην ἂν δικαίως ἐπιτιμήσας ἀπεχθέσθαι μᾶλλον ἢ παρὰ τὸ προσῆκον ἐπαινέσας χαρίσασθαι.

12 al dirigirme a ti, recuerde las decisiones incorrectas de tu padre. Pues, tengo la costumbre de hacer siempre mis discursos con libertad de expresión y preferiría suscitar odios por haber censurado con justicia a agradar con elogios inconvenientes.

---

[32] Lo mismo en *Panegírico* 170-171.

[33] Referencia a la paz de Antálcidas, del año 387 a. C.

[34] Cf. *Panegírico* 167-168.

[13] τὸ μὲν οὖν ἐμὸν οὕτως ἔχον ἐστίν, ἐκεῖνος δ᾽ ἐν ἅπασι τοῖς ἄλλοις διενεγκὼν καὶ γενόμενος ἐγκρατέστατος καὶ δικαιότατος καὶ πολιτικώτατος διττὰς ἔσχεν ἐπιθυμίας, χωρὶς μὲν ἑκατέραν καλὴν εἶναι δοκοῦσαν, οὐ συμφωνούσας δ᾽ ἀλλήλαις οὐδ᾽ ἅμα πράττεσθαι δυναμένας: ἠβούλετο γὰρ βασιλεῖ τε πολεμεῖν καὶ τῶν φίλων τοὺς φεύγοντας εἰς τὰς πόλεις καταγαγεῖν καὶ κυρίους καταστῆσαι τῶν πραγμάτων.

13 Ésta es mi manera de pensar. Agesilao, que sobresalió en todas las demás empresas, fue el más poderoso, justo y gran político, tuvo dos deseos, cada uno de ellos aparentemente bueno por separado, pero discordantes entre sí e imposibles de realizar simultáneamente. Quería hacer la guerra al rey, devolver a sus amigos desterrados a sus ciudades y hacerlos dueños del gobierno.

[14] συνέβαινεν οὖν ἐκ μὲν τῆς πραγματείας τῆς ὑπὲρ τῶν ἑταίρων ἐν κακοῖς καὶ κινδύνοις εἶναι τοὺς Ἕλληνας, διὰ δὲ τὴν ταραχὴν τὴν ἐνθάδε γιγνομένην μὴ σχολὴν ἄγειν μηδὲ δύνασθαι πολεμεῖν τοῖς βαρβάροις. ὥστ᾽ ἐκ τῶν ἀγνοηθέντων κατ᾽ ἐκεῖνον τὸν χρόνον ῥᾴδιον καταμαθεῖν ὅτι δεῖ τοὺς ὀρθῶς βουλευομένους μὴ πρότερον ἐκφέρειν πρὸς βασιλέα πόλεμον, πρὶν ἂν διαλλάξῃ τις τοὺς Ἕλληνας καὶ παύσῃ τῆς μανίας καὶ τῆς φιλονικίας ἡμᾶς. περὶ ὧν ἐγὼ καὶ πρότερον εἴρηκα καὶ νῦν ποιήσομαι τοὺς λόγους.

14 Ocurrió que por su actividad en favor de sus amigos puso a los griegos en males y peligros y a causa del desorden producido aquí no tuvo tiempo ni pudo pelear con los bárbaros. De forma que a través de los errores de aquella época es fácil comprender que quienes deliberan con corrección no han de llevar la guerra contra el rey antes de que alguien haya reconciliado a los griegos y nos libre de nuestra locura y rivalidad. Sobre esto ya he hablado antes y lo haré también ahora.

[15] καίτοι τινὲς τῶν οὐδεμιᾶς μὲν παιδείας μετεσχηκότων, δύνασθαι δὲ παιδεύειν τοὺς ἄλλους ὑπισχνουμένων, καὶ ψέγειν μὲν τἀμὰ τολμώντων, μιμεῖσθαι δὲ γλιχομένων, τάχ᾽ ἂν μανίαν εἶναι φήσειαν τὸ μέλειν ἐμοὶ τῶν τῆς Ἑλλάδος συμφορῶν, ὥσπερ παρὰ τοὺς ἐμοὺς λόγους ἢ βέλτιον ἢ χεῖρον αὐτὴν πράξουσαν. ὧν δικαίως ἂν ἅπαντες πολλὴν ἀνανδρίαν καὶ μικροψυχίαν καταγνοῖεν, ὅτι προσποιούμενοι φιλοσοφεῖν αὐτοὶ μὲν ἐπὶ μικροῖς φιλοτιμοῦνται, τοῖς δὲ δυναμένοις περὶ τῶν μεγίστων συμβουλεύειν φθονοῦντες διατελοῦσιν.

15 Algunos que sin haber recibido educación ninguna prometen que pueden educar a otros y se atreven a censurar mis palabras[35], aunque desean imitarme, podrían decir que es una locura mi preocupación por las desgracias de Grecia, como si con mis discursos ella fuera a estar mejor o peor. Todos notarían con justicia la enorme cobardía y mezquindad de espíritu de tales individuos, que pretendiendo filosofar se afanan por pequeñeces y se pasan el tiempo envidiando a quienes pueden aconsejar sobre los asuntos más importantes.

[16] οὗτοι μὲν οὖν βοηθοῦντες ταῖς αὑτῶν ἀσθενείαις καὶ ῥᾳθυμίαις ἴσως τοιαῦτ᾽ ἐροῦσιν: ἐγὼ δ᾽ οὕτως ἐπ᾽ ἐμαυτῷ μέγα φρονῶ, καίπερ ἔτη γεγονὼς ὀγδοήκοντα καὶ παντάπασιν ἀπειρηκώς, ὥστ᾽ οἶμαι καὶ λέγειν ἐμοὶ προσήκειν μάλιστα περὶ τούτων καὶ καλῶς βεβουλεῦσθαι πρὸς σὲ ποιούμενον τοὺς λόγους, καὶ τυχὸν ἀπ᾽ αὐτῶν γενήσεσθαί τι τῶν δεόντων.

16 Quizá hablarán así para defender sus propias debilidades y negligencias. Pero yo tengo tanta confianza en mí mismo que a pesar de mis ochenta años y de que estoy completamente agotado creo que me conviene mucho hablar sobre estos temas, que he decidido bien al dirigirte mis palabras y que de ellas quizá se derive algún resultado conveniente.

[35] MATHIEU, *Isocrate*…, IV, pág. 197, n. 1, ve aquí un antecedente de la autodefensa de Isócrates en su discurso *Sobre el cambio de fortunas*.

[17] ἡγοῦμαι δὲ καὶ τοὺς ἄλλους Ἕλληνας, εἰ δεήσειεν αὐτοὺς ἐξ ἁπάντων ἐκλέξασθαι τόν τε τῷ λόγῳ κάλλιστ᾽ ἂν δυνηθέντα παρακαλέσαι τοὺς Ἕλληνας ἐπὶ τὴν τῶν βαρβάρων στρατείαν καὶ τὸν τάχιστα μέλλοντα τὰς πράξεις ἐπιτελεῖν τὰς συμφέρειν δοξάσας, οὐκ ἂν ἄλλους ἀνθ᾽ ἡμῶν προκριθῆναι. καίτοι πῶς οὐκ ἂν αἰσχρὸν ποιήσαιμεν, εἰ τούτων ἀμελήσαιμεν οὕτως ἐντίμων ὄντων ὧν ἅπαντες ἂν ἡμᾶς ἀξιώσαιεν;

17 Creo que si se les pidiera a los demás griegos que eligieran de entre todos a quien mejor pudiera con su palabra invitar a los griegos a una expedición militar contra los bárbaros y a quien con más rapidez realizara las empresas que parecen más convenientes, no preferirían a otros en lugar de nosotros. Y así, ¿cómo no obraríamos de manera vergonzosa si nos despreocupáramos de esta tarea tan preciosa, de la que todos nos consideran dignos?

[18] τὸ μὲν οὖν ἐμὸν ἔλαττόν ἐστιν: ἀποφήνασθαι γὰρ ἃ γιγνώσκει τις οὐ πάνυ τῶν χαλεπῶν πέφυκεν: σοὶ δὲ προσήκει προσέχοντι τὸν νοῦν τοῖς ὑπ᾽ ἐμοῦ λεγομένοις βουλεύσασθαι, πότερον ὀλιγωρητέον ἐστὶ τῶν Ἑλληνικῶν πραγμάτων γεγονότι μέν, ὥσπερ ὀλίγῳ πρότερον ἐγὼ διῆλθον, ἡγεμόνι δὲ Λακεδαιμονίων ὄντι, βασιλεῖ δὲ προσαγορευομένῳ, μεγίστην δὲ τῶν Ἑλλήνων ἔχοντι δόξαν, ἢ τῶν μὲν ἐνεστώτων πραγμάτων ὑπεροπτέον, μείζοσι δ᾽ ἐπιχειρητέον.

18 Mi tarea es inferior. Pues declarar lo que uno sabe no es cosa muy difícil. Pero a ti te conviene prestar atención a mis palabras y decidir si hay que desdeñar los asuntos griegos cuando tu linaje es el que hace poco relaté, cuando eres caudillo de los lacedemonios, te llaman rey, tienes el prestigio mayor entre los griegos, o bien si hay que hacer caso omiso de los asuntos actuales e intentar otros mayores.

[19] ἐγὼ μὲν γάρ φημι χρῆναί σε πάντων ἀφέμενον τῶν ἄλλων δυοῖν τούτοιν προσέχειν τὸν νοῦν, ὅπως τοὺς μὲν Ἕλληνας ἀπαλλάξεις τῶν πολέμων καὶ τῶν ἄλλων κακῶν τῶν νῦν αὐτοῖς παρόντων, τοὺς δὲ βαρβάρους παύσεις ὑβρίζοντας καὶ πλείω κεκτημένους ἀγαθὰ τοῦ προσήκοντος. ὡς δ᾽ ἐστὶ ταῦτα δυνατὰ καὶ συμφέροντα καὶ σοὶ καὶ τῇ πόλει καὶ τοῖς ἄλλοις ἅπασιν, ἐμὸν ἔργον ἤδη διδάξαι περὶ αὐτῶν ἐστιν ...

19 Yo sostengo que es preciso que tú dejes todo lo demás para dedicar tu atención a estas dos cosas, a saber, cómo librarás a los griegos de las guerras y de los demás males que ahora tienen, y cómo harás cesar la insolencia de los bárbaros y el que retengan más bienes de lo que conviene. Que esto es posible y útil para ti, para la ciudad y para todos los demás, es tarea mía demostrarlo.

CARTA VIII

A LOS MAGISTRADOS DE MITILENE
Τοῖς Μυτιληναίων ἄρχουσιν

[1] οἱ παῖδες οἱ Ἀφαρέως, ὑιδεῖς δ᾽ ἐμοί, παιδευθέντες ὑπ᾽ Ἀγήνορος τὰ περὶ τὴν μουσικήν, ἐδεήθησάν μου γράμματα πέμψαι πρὸς ὑμᾶς, ὅπως ἄν, ἐπειδὴ καὶ τῶν ἄλλων τινὰς κατηγάγετε φυγάδων, καὶ τοῦτον καταδέξησθε καὶ τὸν πατέρα καὶ τοὺς ἀδελφούς. λέγοντος δέ μου πρὸς αὐτοὺς ὅτι δέδοικα μὴ λίαν ἄτοπος εἶναι δόξω καὶ περίεργος, ζητῶν εὑρίσκεσθαι τηλικαῦτα τὸ μέγεθος παρ᾽ ἀνδρῶν οἷς οὐδὲ πώποτε πρότερον οὔτε διελέχθην οὔτε συνήθης ἐγενόμην, ἀκούσαντες ταῦτα πολὺ μᾶλλον ἐλιπάρουν.

1 Los hijos de Afareo[36], mis nietos, que han recibido de Agenor[37] educación musical, me pidieron que os enviara una carta para que acojáis a éste, a su padre y a sus hermanos, ya que habéis dejado volver a otros exiliados. Al decir yo que tenía miedo de parecer muy inconveniente e indiscreto al buscar alcanzar un favor tan grande de hombres con los que nunca antes traté ni tuve confianza, mis nietos, tras oírme, insistieron mucho más.

[2] ὡς δ᾽ οὐδὲν αὐτοῖς ἀπέβαινεν ὧν ἤλπιζον, ἅπασιν ἦσαν καταφανεῖς ἀηδῶς διακείμενοι καὶ χαλεπῶς φέροντες. ὁρῶν δ᾽ αὐτοὺς λυπουμένους μᾶλλον τοῦ προσήκοντος, τελευτῶν ὑπεσχόμην γράψειν τὴν ἐπιστολὴν καὶ πέμψειν ὑμῖν. ὑπὲρ μὲν οὖν τοῦ μὴ δικαίως ἂν δοκεῖν μωρὸς εἶναι μηδ᾽ ὀχληρὸς ταῦτ᾽ ἔχω λέγειν.

2 Como no consiguieron nada de lo que esperaban, se mostraron ante todos muy disgustados y enfadados. Al verlos más tristes de lo conveniente, acabé por prometerles que escribiría la carta y os la mandaría. Os he contado esto para no pareceros un loco o un inoportuno.

[3] ἡγοῦμαι δὲ καλῶς ὑμᾶς βεβουλεῦσθαι καὶ διαλλαττομένους τοῖς πολίταις τοῖς ὑμετέροις, καὶ πειρωμένους τοὺς μὲν φεύγοντας ὀλίγους ποιεῖν, τοὺς δὲ συμπολιτευομένους πολλούς, καὶ μιμουμένους τὰ περὶ τὴν στάσιν τὴν πόλιν τὴν ἡμετέραν. μάλιστα δ᾽ ἄν τις ὑμᾶς ἐπαινέσειεν ὅτι τοῖς κατιοῦσιν ἀποδίδοτε τὴν οὐσίαν: ἐπιδείκνυσθε γὰρ καὶ ποιεῖτε πᾶσι φανερὸν ὡς οὐ τῶν κτημάτων ἐπιθυμήσαντες τῶν ἀλλοτρίων, ἀλλ᾽ ὑπὲρ τῆς πόλεως δείσαντες ἐποιήσασθε τὴν ἐκβολὴν αὐτῶν.

3 Creo que habéis decidido bien al reconciliaros con vuestros conciudadanos, al intentar disminuir el número de los desterrados y aumentar el de conciudadanos y al imitar a nuestra ciudad en lo que se refiere a las disensiones políticas[38]. Sobre todo se aplaudiría el que hayáis devuelto su hacienda a los que regresan. Pues demostráis y aclaráis a todos que los expulsasteis no por desear lo ajeno, sino temiendo por la ciudad.

[4] οὐ μὴν ἀλλ᾽ εἰ καὶ μηδὲν ὑμῖν ἔδοξε τούτων μηδὲ προσεδέχεσθε μηδένα τῶν φυγάδων, τούτους γε νομίζω συμφέρειν ὑμῖν κατάγειν.

4 Aunque no os hubiera parecido bien esto ni hubierais admitido a ningún desterrado, creo que os conviene hacer volver al menos a Agenor y su

[36] Sobre Afareo, hijo adoptivo de Isócrates, véase PSEUDO-PLUTARCO, *Vida de los diez oradores* 23, 24.

[37] De Agenor sólo sabemos que era un profesor de música muy estimado.

[38] Referencia a la política de reconciliación establecida en Atenas el año 403 a. C., tras la derrota en la guerra del Peloponeso.

αἰσχρὸν γὰρ τὴν μὲν πόλιν ὑμῶν ὑπὸ πάντων ὁμολογεῖσθαι μουσικωτάτην εἶναι καὶ τοὺς ὀνομαστοτάτους ἐν αὐτῇ παρ᾽ ὑμῖν τυγχάνειν γεγονότας, τὸν δὲ προέχοντα τῶν νῦν ὄντων περὶ τὴν ἱστορίαν τῆς παιδείας ταύτης φεύγειν ἐκ τῆς τοιαύτης πόλεως, καὶ τοὺς μὲν ἄλλους Ἕλληνας τοὺς διαφέροντας περί τι τῶν καλῶν ἐπιτηδευμάτων, κἂν μηδὲν προσήκωσι, ποιεῖσθαι πολίτας, ὑμᾶς δὲ τοὺς εὐδοκιμοῦντάς τε παρὰ τοῖς ἄλλοις καὶ μετασχόντας τῆς αὐτῆς φύσεως περιορᾶν παρ᾽ ἑτέροις μετοικοῦντας.

familia. Porque sería vergonzoso en una ciudad por todos reconocida como la más aficionada a la música, donde han nacido los más renombrados en este arte[39], que quedara desterrado de esta ciudad el más destacado de quienes actualmente se dedican a la investigación de esta educación. Porque los demás griegos conceden la ciudadanía a quienes sobresalen en (alguna) de las bellas artes, aunque no tengan parentesco con ellos, pero vosotros veis con indiferencia que vivan como metecos entre ajenos quienes tienen prestigio ante otros y son de vuestro mismo origen.

[5] θαυμάζω δ᾽ ὅσαι τῶν πόλεων μειζόνων δωρεῶν ἀξιοῦσι τοὺς ἐν τοῖς γυμνικοῖς ἀγῶσι κατορθοῦντας μᾶλλον ἢ τοὺς τῇ φρονήσει καὶ τῇ φιλοπονίᾳ τι τῶν χρησίμων εὑρίσκοντας, καὶ μὴ συνορῶσιν ὅτι πεφύκασιν αἱ μὲν περὶ τὴν ῥώμην καὶ τὸ τάχος δυνάμεις συναποθνήσκειν τοῖς σώμασιν, αἱ δ᾽ ἐπιστῆμαι παραμένειν ἅπαντα τὸν χρόνον ὠφελοῦσαι τοὺς χρωμένους αὐταῖς.

5 Me causan admiración cuantas ciudades creen merecedores de mayores premios a los que vencen en las competiciones gimnásticas en vez de a quienes con su inteligencia y laboriosidad descubren alguna cosa útil, y no se dan cuenta de que por naturaleza la fuerza y la rapidez mueren con los cuerpos, pero los saberes, al durar siempre, ayudan a quienes los usan[40].

[6] ὧν ἐνθυμουμένους χρὴ τοὺς νοῦν ἔχοντας περὶ πλείστου μὲν ποιεῖσθαι τοὺς καλῶς καὶ δικαίως τῆς αὑτῶν πόλεως ἐπιστατοῦντας, δευτέρους δὲ τοὺς τιμὴν καὶ δόξαν αὐτῇ καλὴν συμβαλέσθαι δυναμένους: ἅπαντες γὰρ ὥσπερ δείγματι τοῖς τοιούτοις χρώμενοι καὶ τοὺς ἄλλους τοὺς συμπολιτευομένους ὁμοίους εἶναι τούτοις νομίζουσιν.

6 Es preciso que al pensar así los inteligentes tengan en la mayor estimación a los que gobiernan su ciudad bien y con justicia, y, en segundo lugar, a quienes pueden conseguir para ella honor y prestigio. Porque todos consideran a estos hombres como ejemplo y creen que sus demás conciudadanos son semejantes a ellos.

[7] ἴσως οὖν εἴποι τις ἂν ὅτι προσήκει τοὺς εὑρέσθαι τι βουλομένους μὴ τὸ πρᾶγμα μόνον ἐπαινεῖν ἀλλὰ καὶ σφᾶς αὐτοὺς ἐπιδεικνύναι δικαίως ἂν τυγχάνοντας, περὶ ὧν ποιοῦνται τοὺς λόγους. ἔχει δ᾽ οὕτως. ἐγὼ τοῦ μὲν πολιτεύεσθαι καὶ ῥητορεύειν ἀπέστην: οὔτε γὰρ φωνὴν ἔσχον ἱκανὴν οὔτε τόλμαν: οὐ μὴν παντάπασιν ἄχρηστος ἔφυν οὐδ᾽ ἀδόκιμος, ἀλλὰ τοῖς τε λέγειν προῃρημένοις ἀγαθόν τι περὶ ὑμῶν καὶ τῶν ἄλλων συμμάχων φανείην ἂν καὶ σύμβουλος καὶ συναγωνιστὴς γεγενημένος, αὐτός τε πλείους

7 Quizá alguien diría que conviene a quienes pretenden conseguir algo no sólo alabar su ocupación, sino también demostrar que ellos mismos triunfan con justicia en aquello de lo que hablan. Así son las cosas. Yo me mantuve alejado de intervenir en política y de hablar en público. Pues no tuve voz ni atrevimiento suficientes. Pero tampoco fui totalmente inútil ni desacreditado. Se vería que he sido consejero y colaborador de los que eligieron decir algo bueno de vosotros y de los demás aliados y que

[39] Terpandro, Alceo y Safo, principales representantes de la poesía «mélica» (esto es, cantada), todos ellos naturales de la isla de Lesbos, donde se encuentra Mitilene.

[40] Lo mismo en *Panegírico* 1-2, y *Sobre el cambio de fortunas* 250.

λόγους πεποιημένος ὑπὲρ τῆς ἐλευθερίας καὶ τῆς αὐτονομίας τῆς τῶν Ἑλλήνων ἢ σύμπαντες οἱ τὰ βήματα κατατετριφότες.

personalmente he realizado más discursos en defensa de la libertad y autonomía de los griegos que todos cuantos han pasado su vida en las tribunas.

[8] ὑπὲρ ὧν ὑμεῖς ἄν μοι δικαίως πλείστην ἔχοιτε χάριν: μάλιστα γὰρ ἐπιθυμοῦντες διατελεῖτε τῆς τοιαύτης καταστάσεως. οἶμαι δ᾽ ἄν, εἰ Κόνων μὲν καὶ Τιμόθεος ἐτύγχανον ζῶντες, Διόφαντος δ᾽ ἥκεν ἐκ τῆς Ἀσίας, πολλὴν ἂν αὐτοὺς ποιήσασθαι σπουδήν, εὑρέσθαι με βουλομένους ὧν τυγχάνω δεόμενος. περὶ ὧν οὐκ οἶδ᾽ ὅ τι δεῖ πλείω λέγειν: οὐδεὶς γὰρ ὑμῶν οὕτως ἐστὶ νέος οὐδ᾽ ἐπιλήσμων, ὅστις οὐκ οἶδε τὰς ἐκείνων εὐεργεσίας.

8 Por esto me deberíais tener la mayor gratitud. Pues os pasáis la vida deseando ardientemente una institución semejante. Creo que si vivieran Conón y Timoteo, y Diofanto[41] viniera de Asia, pondría mucho empeño en querer que yo consiguiera lo que estoy deseando. No sé qué más decir de ellos, ninguno de vosotros es tan joven ni tan olvidadizo como para no conocer los buenos servicios de aquellos hombres.

[9] οὕτω δ᾽ ἄν μοι δοκεῖτε κάλλιστα βουλεύσασθαι περὶ τούτων, εἰ σκέψαισθε, τίς ἐστιν ὁ δεόμενος καὶ ὑπὲρ ποίων τινῶν ἀνθρώπων. εὑρήσετε γὰρ ἐμὲ μὲν οἰκειότατα κεχρημένον τοῖς μεγίστων ἀγαθῶν αἰτίοις γεγενημένοις ὑμῖν τε καὶ τοῖς ἄλλοις, ὑπὲρ ὧν δὲ δέομαι τοιούτους ὄντας, οἵους τοὺς μὲν πρεσβυτέρους καὶ τοὺς περὶ τὴν πολιτείαν ὄντας μὴ λυπεῖν, τοῖς δὲ νεωτέροις διατριβὴν παρέχειν ἡδεῖαν καὶ χρησίμην καὶ πρέπουσαν τοῖς τηλικούτοις.

9 Me parece que vuestra resolución sobre este asunto será mejor si examináis quién es el que os suplica y en favor de qué hombres lo hace. Descubriréis que yo he tenido la mayor confianza con los responsables de los mayores bienes para vosotros y para los demás, y que las personas que defiendo son de tal categoría que no hacen daño a los ancianos ni a los políticos y procuran a los jóvenes un entretenimiento que es grato, útil y conveniente a los de esa edad.

[10] μὴ θαυμάζετε δ᾽ εἰ προθυμότερον καὶ διὰ μακροτέρων γέγραφα τὴν ἐπιστολήν: βούλομαι γὰρ ἀμφότερα, τοῖς τε παισὶν ἡμῶν χαρίσασθαι καὶ ποιῆσαι φανερὸν αὐτοῖς ὅτι, κἂν μὴ δημηγορῶσι μηδὲ στρατηγῶσιν ἀλλὰ μόνον μιμῶνται τὸν τρόπον τὸν ἐμόν, οὐκ ἠμελημένως διάξουσιν ἐν τοῖς Ἕλλησιν. ἓν ἔτι λοιπόν: ἂν ἄρα δόξῃ τι τούτων ὑμῖν πράττειν, Ἀγήνορί τε δηλώσατε καὶ τοῖς ἀδελφοῖς ὅτι μέρος τι καὶ δι᾽ ἐμὲ τυγχάνουσιν ὧν ἐπεθύμουν.

10 No os asombréis de que os haya escrito una carta más vehemente y extensa que a otros. Pues quiero a la vez dar gusto a mis nietos y dejarles claro que aunque no sean oradores públicos ni generales, con que sólo imiten mi modo de vivir, no vivirán sin estimación entre los griegos. Me queda aún una cosa. Si os parece bien ejecutar alguna de mis propuestas, mostrad a Agenor y a sus hermanos que consiguen lo que deseaban en parte gracias a mí.

[41] Conón y su hijo Timoteo, al que dedica un extenso elogio en *Sobre el cambio de fortunas*, fueron ambos discípulos y amigos de Isócrates. Diofanto era un general ateniense que, como indica el propio Isócrates, se encuentra en Asia. Este dato sirve para fechar con exactitud esta carta en el año 351-350 a. C. cuando Diofanto combatió al lado del rey de Egipto, Nectanebo, contra el rey persa Artajerjes Oco.

CARTA VII

A TIMOTEO
Τιμοθέῳ

[1] περὶ μὲν τῆς οἰκειότητος τῆς ὑπαρχούσης ἡμῖν πρὸς ἀλλήλους οἶμαί σε πολλῶν ἀκηκοέναι, συγχαίρω δέ σοι πυνθανόμενος, πρῶτον μὲν ὅτι τῇ δυναστείᾳ τῇ παρούσῃ κάλλιον χρῇ τοῦ πατρὸς καὶ φρονιμώτερον, ἔπειθ᾽ ὅτι προαιρεῖ δόξαν καλὴν κτήσασθαι μᾶλλον ἢ πλοῦτον μέγαν συναγαγεῖν. σημεῖον γὰρ οὐ μικρὸν ἐκφέρεις ἀρετῆς, ἀλλ᾽ ὡς δυνατὸν μέγιστον, ταύτην ἔχων τὴν γνώμην: ὥστ᾽ ἢν ἐμμείνῃς τοῖς περὶ σοῦ νῦν λεγομένοις, οὐκ ἀπορήσεις τῶν ἐγκωμιασομένων τήν τε φρόνησιν τὴν σὴν καὶ τὴν προαίρεσιν ταύτην.

1 Creo que has oído a muchos hablar de la familiaridad que existe entre nosotros, y me alegro contigo al saber, en primer lugar, que utilizas tu poder actual con más nobleza y prudencia que tu padre[42], y, además, que prefieres adquirir una hermosa fama a una gran riqueza. Das de tu virtud una señal no pequeña, sino la mayor posible, al pensar así. Si eres fiel a lo que se dice ahora de ti, no carecerás de personas que alabarán tu inteligencia y resolución.

[2] ἡγοῦμαι δὲ καὶ τὰ διηγγελμένα περὶ τοῦ πατρός σου συμβαλεῖσθαι μεγάλην πίστιν πρὸς τὸ δοκεῖν εὖ φρονεῖν σε καὶ διαφέρειν τῶν ἄλλων: εἰώθασι γὰρ οἱ πλεῖστοι τῶν ἀνθρώπων οὐχ οὕτως ἐπαινεῖν καὶ τιμᾶν τοὺς ἐκ τῶν πατέρων τῶν εὐδοκιμούντων γεγονότας, ὡς τοὺς ἐκ τῶν δυσκόλων καὶ χαλεπῶν, ἤν περ φαίνωνται μηδὲν ὅμοιοι τοῖς γονεῦσιν ὄντες. μᾶλλον γὰρ ἐπὶ πάντων κεχαρισμένον αὐτοῖς ἐστὶ τὸ παρὰ λόγον συμβαῖνον ἀγαθὸν τῶν εἰκότως καὶ προσηκόντως γιγνομένων.

2 Creo que lo que se cuenta de tu padre contribuyó a que tuvieras mucha confianza en demostrar que eres benevolente y te distingues de los demás. Pues la mayoría de los hombres acostumbran a aplaudir y honrar no tanto a los hijos de padres reputados como a los de padres difíciles y duros, si demuestran que no son iguales a sus progenitores. Pues les resulta mucho más grato el bien que ocurre en contra de la lógica que los que suceden de acuerdo con ella y debidamente.

[3] ὧν ἐνθυμούμενον χρὴ ζητεῖν καὶ φιλοσοφεῖν ἐξ ὅτου τρόπου καὶ μετὰ τίνων καὶ τίσι συμβούλοις χρώμενος τάς τε τῆς πόλεως ἀτυχίας ἐπανορθώσεις καὶ τοὺς πολίτας ἐπί τε τὰς ἐργασίας καὶ τὴν σωφροσύνην προτρέψεις καὶ ποιήσεις αὐτοὺς ἥδιον ζῆν καὶ θαρραλεώτερον ἢ τὸν παρελθόντα χρόνον: ταῦτα γάρ ἐστιν ἔργα τῶν ὀρθῶς καὶ φρονίμως τυραννευόντων.

3 Si piensas así, necesitas buscar e investigar de qué forma, con quiénes, y qué consejeros vas a utilizar para enderezar las calamidades de tu ciudad, dirigir a los ciudadanos al trabajo y la prudencia y hacer que vivan mejor y con más confianza que en el pasado. Ésta es la tarea de los tiranos justos y sensatos.

[42] Clearco, tirano de Heraclea en el Ponto, padre de Timoteo, fue discípulo de Isócrates y Platón; cayó asesinado el año 353/2 y le sucedió su hermano Sátiro hasta el 346/5 en que Timoteo comenzó su gobierno. Las palabras de Isócrates se refieren a la crueldad con que Clearco ejerció el poder desde el año 364 a. C., en que regresó a Heraclea, hasta su muerte.

[4] ὧν ἔνιοι καταφρονήσαντες οὐδὲν ἄλλο σκοποῦσι, πλὴν ὅπως αὐτοί θ᾽ ὡς μετὰ πλείστης ἀσελγείας τὸν βίον διάξουσι, τῶν τε πολιτῶν τοὺς βελτίστους καὶ πλουσιωτάτους καὶ φρονιμωτάτους λυμανοῦνται καὶ δασμολογήσουσι, κακῶς εἰδότες ὅτι προσήκει τοὺς εὖ φρονοῦντας καὶ τὴν τιμὴν ταύτην ἔχοντας μὴ τοῖς τῶν ἄλλων κακοῖς αὑτοῖς ἡδονὰς παρασκευάζειν, ἀλλὰ ταῖς αὑτῶν ἐπιμελείαις τοὺς πολίτας εὐδαιμονεστέρους ποιεῖν,

4 Algunos la despreciaron y sólo miran cómo vivirán ellos con el mayor desenfreno, cómo dañarán y cargarán de impuestos a los mejores, más ricos y más prudentes ciudadanos. No saben que conviene a los hombres inteligentes y a quienes tienen este cargo no procurarse a sí mismos placeres con daño ajeno, sino hacer más felices a los ciudadanos con sus propios cuidados[43].

[5] μηδὲ πικρῶς μὲν καὶ χαλεπῶς διακεῖσθαι πρὸς ἅπαντας, ἀμελεῖν δὲ τῆς αὑτῶν σωτηρίας, ἀλλ᾽ οὕτω μὲν πράως καὶ νομίμως ἐπιστατεῖν τῶν πραγμάτων ὥστε μηδένα τολμᾶν αὐτοῖς ἐπιβουλεύειν, μετὰ τοσαύτης δ᾽ ἀκριβείας τὴν τοῦ σώματος ποιεῖσθαι φυλακὴν ὡς ἁπάντων αὐτοὺς ἀνελεῖν βουλομένων. ταύτην γὰρ τὴν διάνοιαν ἔχοντες αὐτοί τ᾽ ἂν ἔξω τῶν κινδύνων εἶεν καὶ παρὰ τοῖς ἄλλοις εὐδοκιμοῖεν: ὧν ἀγαθὰ μείζω χαλεπὸν εὑρεῖν ἐστίν.

5 Tampoco les conviene comportarse cruel y duramente con todos y descuidar su propia seguridad, sino gobernar los asuntos públicos con tanta benevolencia y legalidad que nadie se atreva a conspirar contra ellos, y guardar su persona con tanto esmero como si todos quisieran matarles. Si pensaran así estarían fuera de peligro y gozarían de buena fama entre los demás. Difícil sería descubrir bienes mayores que éstos.

[6] ἐνεθυμήθην δὲ μεταξὺ γράφων, ὡς εὐτυχῶς ἅπαντά σοι συμβέβηκεν. τὴν μὲν γὰρ εὐπορίαν ἣν ἀναγκαῖον ἦν κτήσασθαι μετὰ βίας καὶ τυραννικῶς καὶ μετὰ πολλῆς ἀπεχθείας ὁ πατήρ σοι καταλέλοιπε, τὸ δὲ χρῆσθαι τούτοις καλῶς καὶ φιλανθρώπως ἐπὶ σοὶ γέγονεν: ὧν χρή σε πολλὴν ποιεῖσθαι τὴν ἐπιμέλειαν.

6 Mientras te escribía estaba pensando qué suerte has tenido en todo. Pues el bienestar, que necesariamente se adquiere con violencia, tiránicamente y granjeándose mucho odio, te lo ha dejado tu padre[44], y tú puedes usarlo con bondad y filantropía. En esto debes poner el mayor cuidado.

[7] ἃ μὲν οὖν ἐγὼ γιγνώσκω, ταῦτ᾽ ἐστίν: ἔχει δ᾽ οὕτως. εἰ μὲν ἐρᾷς χρημάτων καὶ μείζονος δυναστείας καὶ κινδύνων δι᾽ ὧν αἱ κτήσεις τούτων εἰσίν, ἑτέρους σοι συμβούλους παρακλητέον: εἰ δὲ ταῦτα μὲν ἱκανῶς ἔχεις, ἀρετῆς δὲ καὶ δόξης καλῆς καὶ τῆς παρὰ τῶν πολλῶν εὐνοίας ἐπιθυμεῖς, τοῖς τε λόγοις τοῖς ἐμοῖς προσεκτέον τὸν νοῦν ἐστὶ καὶ τοῖς καλῶς τὰς πόλεις τὰς αὑτῶν διοικοῦσιν ἁμιλλητέον καὶ πειρατέον αὐτῶν διενεγκεῖν.

7 Esto es lo que yo pienso. Pero la situación es ésta: si amas las riquezas, mayor poder y los peligros con los que se adquiere lo anterior, debes llamar a otros consejeros. Pero si tienes lo suficiente y deseas una hermosa fama y la simpatía de muchos, tienes que prestar atención a mis palabras, emular a los que gobiernan bien sus ciudades e intentar superarlos.

[8] ἀκούω δὲ Κλέομμιν τὸν ἐν Μηθύμνῃ ταύτην ἔχοντα τὴν δυναστείαν περί τε τὰς ἄλλας πράξεις καλὸν κἀγαθὸν εἶναι καὶ φρόνιμον, καὶ τοσοῦτον ἀπέχειν τοῦ τῶν πολιτῶν τινας ἀποκτείνειν ἢ φυγαδεύειν ἢ δημεύειν τὰς οὐσίας ἢ ποιεῖν ἄλλο τι

8 Oigo decir que Cleomis, quien tiene este poder en Metimna, es bueno y sensato en sus demás hechos y tan lejos está de matar a algunos ciudadanos, desterrarlos, confiscar sus bienes o hacerles algún otro daño que procura la mayor

[43] Cf. *Sobre la paz* 91.

[44] Cf. *Evágoras* 25.

κακόν, ὥστε πολλὴν μὲν ἀσφάλειαν παρέχειν τοῖς συμπολιτευομένοις, κατάγειν δὲ τοὺς φεύγοντας, ἀποδιδόναι δὲ τοῖς μὲν κατιοῦσι τὰς κτήσεις ἐξ ὧν ἐξέπεσον,

seguridad a sus conciudadanos, hace volver a los exiliados, devuelve a los que regresan las propiedades que perdieron e indemniza a cada uno de los compradores.

[9] τοῖς δὲ πριαμένοις τὰς τιμὰς τὰς ἑκάστοις γιγνομένας, πρὸς δὲ τούτοις καθοπλίζειν ἅπαντας τοὺς πολίτας, ὡς οὐδενὸς μὲν ἐπιχειρήσοντος περὶ αὐτὸν νεωτερίζειν, ἢν δ᾽ ἄρα τινὲς τολμήσωσιν, ἡγούμενον λυσιτελεῖν αὑτῷ τεθνάναι τοιαύτην ἀρετὴν ἐνδειξαμένῳ τοῖς πολίταις μᾶλλον ἢ ζῆν πλείω χρόνον τῇ πόλει τῶν μεγίστων κακῶν αἴτιον γενόμενον.

9 Además, provee de armas a todos los ciudadanos como si ninguno fuera a intentar una revolución y, en caso de que algunos se atrevieran a ello, cree que le conviene morir después de haber mostrado tanta virtud a los ciudadanos mejor que vivir más tiempo habiendo sido para su ciudad causa de enormes males.

[10] ἔτι δ᾽ ἂν πλείω σοι περὶ τούτων διελέχθην, ἴσως δ᾽ ἂν καὶ χαριέστερον, εἰ μὴ παντάπασιν ἔδει με διὰ ταχέων γράψαι τὴν ἐπιστολήν. νῦν δὲ σοὶ μὲν αὖθις συμβουλεύσομεν, ἂν μὴ κωλύσῃ με τὸ γῆρας, ἐν δὲ τῷ παρόντι περὶ τῶν ἰδίων δηλώσομεν. Αὐτοκράτωρ γὰρ ὁ τὰ γράμματα φέρων οἰκείως ἡμῖν ἔχει:

10 Más aún hablaría contigo de estos temas y quizá de modo más agradable si no me fuera totalmente preciso escribir la carta con prisa. En otra ocasión te aconsejaremos si la vejez no me lo impide, pero ahora aclararemos algunos asuntos particulares. Autocrator[45], portador de esta carta, es amigo nuestro.

[11] περί τε γὰρ τὰς διατριβὰς τὰς αὐτὰς γεγόναμεν καὶ τῇ τέχνῃ πολλάκις αὐτοῦ κέχρημαι καὶ τὸ τελευταῖον περὶ τῆς ἀποδημίας τῆς ὡς σὲ σύμβουλος ἐγενόμην αὐτῷ. διὰ δὴ ταῦτα πάντα βουλοίμην ἄν σε καλῶς αὐτῷ χρήσασθαι καὶ συμφερόντως ἀμφοτέροις ἡμῖν, καὶ γενέσθαι φανερόν, ὅτι μέρος τι καὶ δι᾽ ἐμὲ γίγνεταί τι τῶν δεόντων αὐτῷ.

11 Nos hemos dedicado a las mismas ocupaciones, muchas veces me he servido de su arte y últimamente le aconsejé sobre su viaje a tu reino. Por todo esto querría que tú le trataras bien y de manera conveniente para vosotros dos, y que él comprendiera que consigue algo de lo que necesita en parte gracias a mí.

[12] καὶ μὴ θαυμάσῃς, εἰ σοὶ μὲν οὕτως ἐπιστέλλω προθύμως, Κλεάρχου δὲ μηδὲν πώποτ᾽ ἐδεήθην. σχεδὸν γὰρ ἅπαντες οἱ παρ᾽ ὑμῶν καταπλέοντες σὲ μὲν ὅμοιόν φασιν εἶναι τοῖς βελτίστοις τῶν ἐμοὶ πεπλησιακότων, Κλέαρχον δὲ κατὰ μὲν ἐκεῖνον τὸν χρόνον, ὅτ᾽ ἦν παρ᾽ ἡμῖν, ὡμολόγουν, ὅσοι περ ἐνέτυχον, ἐλευθεριώτατον εἶναι καὶ πραότατον καὶ φιλανθρωπότατον τῶν μετεχόντων τῆς διατριβῆς: ἐπειδὴ δὲ τὴν δύναμιν ἔλαβε, τοσοῦτον ἔδοξε μεταπεσεῖν ὥστε πάντας θαυμάζειν τοὺς πρότερον αὐτὸν γιγνώσκοντας.

12 No te asombres de que te escriba con tanto afecto cuando nunca pedí nada a Clearco. Casi todos los que navegan desde vuestro país dicen que eres semejante a mis mejores discípulos. También a Clearco, en aquel tiempo que pasó a nuestro lado, cuantos le trataron reconocían que era el más liberal, afable y humano de los que participaban de nuestra ocupación. Pero después que consiguió el poder, dio la impresión de que cambió tanto como para admirar a todos los que antes le conocían.

[13] πρὸς μὲν οὖν ἐκεῖνον διὰ ταύτας τὰς αἰτίας ἀπηλλοτριώθην: σὲ δ᾽ ἀποδέχομαι καὶ πρὸ πολλοῦ

13 Por este motivo me aparté de Clearco. Pero a ti te acojo con agrado y me gustaría muchísimo

[45] Véase Introducción a las cartas.

ποιησαίμην ἂν οἰκείως διατεθῆναι πρὸς ἡμᾶς. δηλώσεις δὲ καὶ σὺ διὰ ταχέων, εἰ τὴν αὐτὴν γνώμην ἔχεις ἡμῖν: Αὐτοκράτορός τε γὰρ ἐπιμελήσει καὶ πέμψεις ἐπιστολὴν ὡς ἡμᾶς, ἀνανεούμενος τὴν φιλίαν καὶ ξενίαν τὴν πρότερον ὑπάρχουσαν. ἔρρωσο, κἄν του δέῃ τῶν παρ᾽ ἡμῖν, ἐπίστελλε.

que fueras amigo nuestro. También tú aclararás rápidamente si tienes la misma opinión que nosotros. Porque te cuidarás de Autocrator y nos escribirás una carta para renovar la amistad y hospitalidad que antes teníamos. Pásalo bien y escríbenos si necesitas algo de lo que tenemos.



CARTA II

A FILIPO
Φιλίππῳ

[1] οἶδα μὲν ὅτι πάντες εἰώθασι πλείω χάριν ἔχειν τοῖς ἐπαινοῦσιν ἢ τοῖς συμβουλεύουσιν, ἄλλως τε κἂν μὴ κελευσθεὶς ἐπιχειρῇ τις τοῦτο ποιεῖν. ἐγὼ δ᾽ εἰ μὲν μὴ καὶ πρότερον ἐτύγχανόν σοι παρηνεκὼς μετὰ πολλῆς εὐνοίας, ἐξ ὧν ἐδόκεις μοι τὰ πρέποντα μάλιστ᾽ ἂν σαυτῷ πράττειν, ἴσως οὐδ᾽ ἂν νῦν ἐπεχείρουν ἀποφαίνεσθαι περὶ τῶν σοὶ συμβεβηκότων:

1 Sé que todos acostumbran a tener más gratitud a los que les elogian que a quienes les aconsejan, sobre todo si uno intenta hacerlo sin que se lo manden. Yo, si antes no te hubiera aconsejado con mucho afecto aquello que, según me parecía, más te convenía realizar, quizá ahora no intentaría mostrar mi opinión sobre lo que te ha ocurrido[46].

[2] ἐπειδὴ δὲ προειλόμην φροντίζειν τῶν σῶν πραγμάτων καὶ τῆς πόλεως ἕνεκα τῆς ἐμαυτοῦ καὶ τῶν ἄλλων Ἑλλήνων, αἰσχυνθείην ἄν, εἰ περὶ μὲν τῶν ἧττον ἀναγκαίων φαινοίμην σοι συμβεβουλευκώς, ὑπὲρ δὲ τῶν μᾶλλον κατεπειγόντων μηδένα λόγον ποιόμην, καὶ ταῦτ᾽ εἰδὼς ἐκεῖνα μὲν ὑπὲρ δόξης ὄντα, ταῦτα δ᾽ ὑπὲρ τῆς σῆς σωτηρίας, ἧς ὀλιγωρεῖν ἅπασιν ἔδοξας τοῖς ἀκούσασι τὰς περὶ σοῦ ῥηθείσας βλασφημίας.

2 Pero, ya que elegí preocuparme de tus asuntos a causa de mi ciudad y de los demás griegos, me daría vergüenza causar la impresión de que te he aconsejado sobre asuntos de poca importancia, sin haber hablado en absoluto de lo más urgente. Y eso a pesar de saber que aquello beneficia a tu fama, y esto último a tu salvación que pareces menospreciar, según opinan todos cuantos oyeron las difamaciones que de ti se han dicho.

[3] οὐδείς γὰρ ἔστιν, ὅστις οὐ κατέγνω προπετέστερόν σε κινδυνεύειν ἢ βασιλικώτερον, καὶ μᾶλλόν σοι μέλειν τῶν περὶ τὴν ἀνδρίαν ἐπαίνων ἢ τῶν ὅλων πραγμάτων. ἔστι δ᾽ ὁμοίως αἰσχρὸν περιστάντων τε τῶν πολεμίων μὴ διαφέροντα γενέσθαι τῶν ἄλλων, μηδεμιᾶς τε συμπεσούσης ἀνάγκης αὐτὸν ἐμβαλεῖν εἰς τοιούτους ἀγῶνας, ἐν οἷς κατορθώσας μὲν οὐδὲν ἂν ἦσθα μέγα διαπεπραγμένος, τελευτήσας δὲ τὸν βίον ἅπασαν ἂν τὴν ὑπάρχουσαν εὐδαιμονίαν συνανεῖλες.

3 En efecto, no hay nadie que no te haya acusado de exponerte al peligro con más ímpetu del que conviene a un rey y de buscar elogios más por tu valor que por tu política general. Tan vergonzoso es no aventajar a los demás cuando los enemigos nos rodean como sin ninguna necesidad lanzarse en persona a semejantes combates, en los que, si triunfas, no habrás ejecutado nada grande, y, si mueres, habrás destruido simultáneamente toda la prosperidad que tienes[47].

[4] χρὴ δὲ μὴ καλὰς ἁπάσας ὑπολαμβάνειν τὰς ἐν τοῖς πολέμοις τελευτάς, ἀλλὰ τὰς μὲν ὑπὲρ τῆς πατρίδος καὶ τῶν γονέων καὶ τῶν παίδων ἐπαίνων ἀξίας, τὰς δὲ ταῦτα τε πάντα

4 No se debe pensar que son hermosas todas las muertes en las guerras, sino que son dignas de aplauso las que ocurren en defensa de la patria, de

[46] Se refiere a su discurso *Filipo*.
[47] Cf. DEMÓST., *Sobre la Corona* 67.

βλαπτούσας καὶ τὰς πράξεις τὰς πρότερον κατωρθωμένας καταρρυπαινούσας αἰσχρὰς νομίζειν καὶ φεύγειν ὡς αἰτίας πολλῆς ἀδοξίας γιγνομένας.

los padres y de los hijos[48]. Hay que considerar vergonzosas, en cambio, todas cuantas perjudican y manchan las hazañas conseguidas con anterioridad y escapar de ellas como causantes de la peor reputación.

[5] ἡγοῦμαι δέ σοι συμφέρειν μιμεῖσθαι τὰς πόλεις, ὃν τρόπον διοικοῦσι τὰ περὶ τοὺς πολέμους. ἅπασαι γάρ, ὅταν στρατόπεδον ἐκπέμπωσιν, εἰώθασι τὸ κοινὸν καὶ τὸ βουλευσόμενον ὑπὲρ τῶν ἐνεστώτων εἰς ἀσφάλειαν καθιστάναι: διὸ δὴ συμβαίνει μὴ μιᾶς ἀτυχίας συμπεσούσης ἀνηρῆσθαι καὶ τὴν δύναμιν αὐτῶν, ἀλλὰ πολλὰς ὑποφέρειν δύνασθαι συμφορὰς καὶ πάλιν αὐτὰς ἐκ τούτων ἀναλαμβάνειν. ὃ καὶ σὲ δεῖ σκοπεῖν,

5 Creo que te conviene imitar a las ciudades en su modo de actuar cuando están en guerra. Todas ellas, en efecto, cuando envían una expedición militar, acostumbran a poner en lugar seguro al Estado y a los dirigentes que tomarán una decisión sobre lo que ocurra. Gracias a esto no les sucede que por un solo descalabro pierdan su poderío, sino que pueden soportar muchos desastres y recuperarse de nuevo. Esto es lo que te conviene examinar,

[6] καὶ μηδὲν μεῖζον ἀγαθὸν τῆς σωτηρίας ὑπολαμβάνειν, ἵνα καὶ τὰς νίκας τὰς συμβαινούσας κατὰ τρόπον διοικῇς καὶ τὰς ἀτυχίας τὰς συμπιπτούσας ἐπανορθοῦν δύνῃ. ἴδοις δ᾽ ἂν καὶ Λακεδαιμονίους περὶ τῆς τῶν βασιλέων σωτηρίας πολλὴν ἐπιμέλειαν ποιουμένους καὶ τοὺς ἐνδοξοτάτους τῶν πολιτῶν φύλακας αὐτῶν καθιστάντας, οἷς αἴσχιόν ἐστιν ἐκείνους τελευτήσαντας περιδεῖν ἢ τὰς ἀσπίδας ἀποβαλεῖν.

6 y pensar que no hay un bien mayor que tu seguridad para que administres tus victorias convenientemente (y puedas reparar las desgracias que te ocurran). Verías también que los lacedemonios ponen el mayor cuidado en la seguridad de sus reyes y que sitúan como guardianes de ellos a los ciudadanos más renombrados[49], para quienes es más vergonzoso dejarles morir que abandonar los escudos.

[7] ἀλλὰ μὴν οὐδ᾽ ἐκεῖνά σε λέληθεν ἃ Θέρξῃ τε τῷ καταδουλώσασθαι τοὺς Ἕλληνας βουληθέντι καὶ Κύρῳ τῷ τῆς βασιλείας ἀμφισβητήσαντι συνέπεσεν. ὁ μὲν γὰρ τηλικαύταις ἥτταις καὶ συμφοραῖς περιπεσών, ἡλίκας οὐδεὶς οἶδεν ἄλλοις γενομένας, διὰ τὸ περιποιῆσαι τὴν αὑτοῦ ψυχὴν τήν τε βασιλείαν κατέσχε καὶ τοῖς παισὶ τοῖς αὑτοῦ παρέδωκε καὶ τὴν Ἀσίαν οὕτω διῴκησεν ὥστε μηδὲν ἧττον αὐτὴν εἶναι φοβερὰν τοῖς Ἕλλησιν ἢ πρότερον:

7 Tampoco se te habrá pasado por alto lo que les ocurrió a Jerjes, el que quería esclavizar a los griegos, y a Ciro[50], el que luchó por la realeza. El primero, tras haber caído en tales derrotas y desastres como nadie supo nunca que les ocurriera a otros, gracias a haber salvado su vida, retuvo su realeza, la transmitió a sus hijos y gobernó Asia de tal modo que no fue menos temible para los griegos que antes.

[8] Κῦρος δὲ νικήσας ἅπασαν τὴν βασιλέως δύναμιν καὶ κρατήσας ἂν τῶν πραγμάτων, εἰ μὴ διὰ τὴν αὑτοῦ προπέτειαν, οὐ μόνον αὑτὸν ἀπεστέρησε τηλικαύτης δυναστείας, ἀλλὰ καὶ τοὺς συνακολουθήσαντας εἰς τὰς ἐσχάτας

8 Ciro, en cambio, después que venció a todo el ejército del rey y cuando se habría impuesto de no ser por su propia temeridad, no sólo perdió semejante poder sino que lanzó a sus acompañantes a las desgracias más extremas.

[48] Idea típica de la poesía griega elegiaca, en autores como Calino y Tirteo.

[49] Cf. *Sobre la paz* 143, y *Filipo* 80.

[50] Ciro el Joven. Cf. JENOFONTE, *Anábasis*.

συμφορὰς κατέστησεν. ἔχοιμι δ᾽ ἂν παμπληθεῖς εἰπεῖν οἳ μεγάλων στρατοπέδων ἡγεμόνες γενόμενοι διὰ τὸ προδιαφθαρῆναι πολλὰς μυριάδας αὑτοῖς συναπώλεσαν.

Podría hablarte de muchos que fueron jefes de grandes ejércitos pero que por haber muerto prematuramente hicieron morir al mismo tiempo a muchos millares de hombres.

[9] ὧν ἐνθυμούμενον χρὴ μὴ τιμᾶν τὴν ἀνδρίαν τὴν μετ᾽ ἀνοίας ἀλογίστου καὶ φιλοτιμίας ἀκαίρου γιγνομένην, μηδὲ πολλῶν κινδύνων ἰδίων ὑπαρχόντων ταῖς μοναρχίαις ἑτέρους ἀδόξους καὶ στρατιωτικοὺς αὑτῷ προσεξευρίσκειν, μηδ᾽ ἁμιλλᾶσθαι τοῖς ἢ βίου δυστυχοῦς ἀπαλλαγῆναι βουλομένοις ἢ μισθοφορᾶς ἕνεκα μείζονος εἰκῇ τοὺς κινδύνους προαιρουμένοις,

9 Debes reflexionar esto, no valorar el coraje que se acompaña con una insensatez absurda y una ambición inoportuna ni buscar otros peligros sin renombre y más propios de soldados, cuando las monarquías tienen muchos riesgos particulares. Tampoco has de disputar con quienes quieren escapar de una vida infortunada o eligen al azar los peligros por una soldada mayor,

[10] μηδ᾽ ἐπιθυμεῖν τοιαύτης δόξης, ἧς πολλοὶ καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων τυγχάνουσιν, ἀλλὰ τῆς τηλικαύτης τὸ μέγεθος, ἣν μόνος ἂν τῶν νῦν ὄντων κτήσασθαι δυνηθείης: μηδ᾽ ἀγαπᾶν λίαν τὰς τοιαύτας ἀρετὰς ὧν καὶ τοῖς φαύλοις μέτεστιν, ἀλλ᾽ ἐκείνας ὧν οὐδεὶς ἂν πονηρὸς κοινωνήσειεν:

10 ni desear un prestigio como el que tienen muchos griegos y bárbaros, sino uno tan enorme que seas tú el único de los que existen que puedas adquirirlo. No tienes que amar en exceso las virtudes de las que incluso los malvados participan, sino aquellas que ningún cobarde tendría.

[11] μηδὲ ποιεῖσθαι πολέμους ἀδόξους καὶ χαλεπούς, ἐξὸν ἐντίμους καὶ ῥᾳδίους, μηδ᾽ ἐξ ὧν τοὺς μὲν οἰκειοτάτους εἰς λύπας καὶ φροντίδας καταστήσεις, τοὺς δ᾽ ἐχθροὺς ἐν ἐλπίσι μεγάλαις ποιήσεις, οἵας καὶ νῦν αὐτοῖς παρέσχες: ἀλλὰ τῶν μὲν βαρβάρων, πρὸς οὓς νῦν πολεμεῖς, ἐπὶ τοσοῦτον ἐξαρκέσει σοι κρατεῖν, ὅσον ἐν ἀσφαλείᾳ καταστῆσαι τὴν σαυτοῦ χώραν, τὸν δὲ βασιλέα τὸν νῦν μέγαν προσαγορευόμενον καταλύειν ἐπιχειρήσεις, ἵνα τήν τε σαυτοῦ δόξαν μείζω ποιήσῃς καὶ τοῖς Ἕλλησιν ὑποδείξῃς πρὸς ὃν χρὴ πολεμεῖν.

11 No emprendas guerras mal reputadas y peligrosas, cuando puedes hacerlas honrosas y fáciles ni aquellas con las que pondrás a tus más íntimos en tristezas y cuidados y harás mayores las esperanzas de tus enemigos, como las que ahora les diste. Por el contrario, te bastará tener sobre los bárbaros con los que ahora guerreas una ventaja suficiente como para asegurar tu propio territorio. En cambio, intentarás acabar con el que ahora se llama gran rey, para proporcionarte una gloria mayor y señalar a los griegos contra quién hay que luchar.

[12] πρὸ πολλοῦ δ᾽ ἂν ἐποιησάμην ἐπιστεῖλαί σοι ταῦτα πρὸ τῆς στρατείας, ἵν᾽ εἰ μὲν ἐπείσθης, μὴ τηλικούτῳ κινδύνῳ περιέπεσες, εἰ δ᾽ ἠπίστησας, μὴ συμβουλεύειν ἐδόκουν ταὐτὰ τοῖς ἤδη διὰ τὸ πάθος ὑπὸ πάντων ἐγνωσμένοις, ἀλλὰ τὸ συμβεβηκὸς ἐμαρτύρει τοὺς λόγους ὀρθῶς ἔχειν τοὺς ὑπ᾽ ἐμοῦ περὶ αὐτῶν εἰρημένους.

12 Habría preferido haberte enviado esta carta antes de tu campaña, para que, en el caso de haberte convencido, no hubieras caído en semejante peligro. Y si no hubieras confiado en mí, se vería que no te aconsejo lo mismo que lo que ya todos opinan debido a tu herida. Por el contrario, lo ocurrido demostraría que era correcto mi discurso sobre este asunto.

[13] πολλὰ δ᾽ ἔχων εἰπεῖν διὰ τὴν τοῦ πράγματος φύσιν παύσομαι λέγων: οἶμαι γὰρ καὶ σὲ καὶ τῶν

13 Aunque tengo mucho que decirte debido a la naturaleza del tema, dejaré de hablar. Pues creo

ἑταίρων τοὺς σπουδαιοτάτους ῥᾳδίως ὁπόσ᾽ ἂν βούλησθε προσθήσειν τοῖς εἰρημένοις. πρὸς δὲ τούτοις φοβοῦμαι τὴν ἀκαιρίαν: καὶ γὰρ νῦν κατὰ μικρὸν προϊὼν ἔλαθον ἐμαυτὸν οὐκ εἰς ἐπιστολῆς συμμετρίαν ἀλλ᾽ εἰς λόγου μῆκος ἐξοκείλας.

que tú y tus camaradas más activos[51] añadiréis fácilmente a mis palabras cuanto queráis. Aparte de esto temo ser inoportuno. Porque ahora, avanzando poco a poco, se me pasó por alto que vine a dar no con la proporción de una carta, sino con la longitud de un discurso.

[14] οὐ μὴν ἀλλὰ καίπερ τούτων οὕτως ἐχόντων οὐ παραλειπτέον ἐστὶ τὰ περὶ τῆς πόλεως, ἀλλὰ πειρατέον παρακαλέσαι σε πρὸς τὴν οἰκειότητα καὶ τὴν χρῆσιν αὐτῆς. οἶμαι γὰρ πολλοὺς εἶναι τοὺς ἀπαγγέλλοντας καὶ λέγοντας οὐ μόνον τὰ δυσχερέστατα τῶν περὶ σοῦ παρ᾽ ἡμῖν εἰρημένων, ἀλλὰ καὶ παρ᾽ αὑτῶν προστιθέντας: οἷς οὐκ εἰκὸς προσέχειν τὸν νοῦν.

14 En cualquier caso, aunque las cosas estén así, no hay que olvidar los asuntos de mi ciudad, sino intentar animarte a la intimidad y relación con ella. Porque creo que son muchos los que te traen noticias y te cuentan no sólo lo peor que de ti se ha dicho entre nosotros, sino también lo que añaden por su cuenta[52]. A estos individuos no es lógico que les prestes atención.

[15] καὶ γὰρ ἂν ἄτοπον ποιοίης, εἰ τὸν μὲν δῆμον τὸν ἡμέτερον ψέγοις ὅτι ῥᾳδίως πείθεται τοῖς διαβάλλουσιν, αὐτὸς δὲ φαίνοιο πιστεύων τοῖς τὴν τέχνην ταύτην ἔχουσι, καὶ μὴ γιγνώσκοις ὡς ὅσῳπερ ἂν τὴν πόλιν εὐαγωγοτέραν ὑπὸ τῶν τυχόντων οὖσαν ἀποφαίνωσι, τοσούτῳ μᾶλλόν σοι συμφερόντως ἔχουσαν αὐτὴν ἐπιδεικνύουσιν. εἰ γὰρ οἱ μηδὲν ἀγαθὸν οἷοί τ᾽ ὄντες ποιῆσαι διαπράττονται τοῖς λόγοις ὅ τι ἂν βουληθῶσιν, ἦ που σέ γε προσήκει τὸν πλεῖστ᾽ ἂν ἔργῳ δυνάμενον εὐεργετῆσαι μηδενὸς ἀποτυχεῖν παρ᾽ ἡμῶν.

15 Harías algo absurdo si reprocharas a nuestro pueblo el que fácilmente haga caso a los calumniadores, y a ti mismo se te viera confiar en quienes tienen esta habilidad, sin darte cuenta de que cuanto más te hagan ver que nuestra ciudad se deja fácilmente conducir por cualquiera, tanto más te están indicando que ella te conviene. Pues si quienes no son capaces de hacer nada bueno consiguen con sus palabras cuanto quieren, sin duda a ti, que con la acción puedes causar los mayores beneficios, te corresponde no alcanzar fracaso alguno entre nosotros.

[16] ἡγοῦμαι δὲ δεῖν πρὸς μὲν τοὺς πικρῶς τῆς πόλεως ἡμῶν κατηγοροῦντας ἐκείνους ἀντιτάττεσθαι τοὺς πάντα τἀναντί᾽ εἶναι λέγοντας καὶ τοὺς μήτε μεῖζον μήτ᾽ ἔλαττον αὐτὴν ἠδικηκέναι φάσκοντας: ἐγὼ δ᾽ οὐδὲν ἂν εἴποιμι τοιοῦτον: αἰσχυνθείην γὰρ ἄν, εἰ τῶν ἄλλων μηδὲ τοὺς θεοὺς ἀναμαρτήτους εἶναι νομιζόντων αὐτὸς τολμῴην λέγειν, ὡς οὐδὲν πώποθ᾽ ἡ πόλις ἡμῶν πεπλημμέληκεν.

16 Creo que es preciso ante los que acusan con dureza a nuestra ciudad enfrentar a quienes dicen que todo esto es así y a los que afirman que ella no ha cometido ningún crimen, ni grande ni pequeño. Nada semejante podría yo decir. Pues me daría vergüenza atreverme a decir que nuestra ciudad nunca ha errado, cuando otros piensan que ni los dioses son irreprochables.

[17] οὐ μὴν ἀλλ᾽ ἐκεῖν᾽ ἔχω περὶ αὐτῆς εἰπεῖν, ὅτι χρησιμωτέραν οὐκ ἂν εὕροις ταύτης οὔτε τοῖς Ἕλλησιν οὔτε τοῖς σοῖς πράγμασιν: ᾧ μάλιστα προσεκτέον τὸν νοῦν ἐστίν. οὐ γὰρ μόνον συναγωνιζομένη γίγνοιτ᾽ ἂν αἰτία σοι πολλῶν ἀγαθῶν,

17 Con todo, puedo decir sobre ella que no encontrarías otra más útil que ella para los griegos y para tus asuntos. A esto es a lo que hay que prestar atención. Pues no sólo sería para ti causa de muchos bienes si fuera aliada tuya, sino aunque

[51] Cf. *Filipo* 80.

[52] Cf. DEMÓST., *Sobre el Haloneso* 23.

sólo diera la impresión de estar contigo en relaciones amistosas.

[18] ἀλλὰ καὶ φιλικῶς ἔχειν δοκοῦσα μόνον: τούς τε γὰρ ὑπὸ σοὶ νῦν ὄντας ῥᾷον ἂν κατέχοις, εἰ μηδεμίαν ἔχοιεν ἀποστροφήν, τῶν τε βαρβάρων οὓς βουληθείης θᾶττον ἂν καταστρέψαιο. καίτοι πῶς οὐ χρὴ προθύμως ὀρέγεσθαι τῆς τοιαύτης εὐνοίας, δι᾽ ἣν οὐ μόνον τὴν ὑπάρχουσαν ἀρχὴν ἀσφαλῶς καθέξεις, ἀλλὰ καὶ πολλὴν ἑτέραν ἀκινδύνως προσκτήσει;

18 En efecto, retendrías más fácilmente a tus súbditos actuales si no tuvieran ningún refugio[53] y someterías con mayor rapidez a los bárbaros que quisieras. Por eso, ¿cómo no desear semejante amistad gracias a la cual no sólo retendrás con más seguridad tu poderío actual sino que también te hará adquirir sin peligros otro mayor?

[19] θαυμάζω δ᾽ ὅσοι τῶν τὰς δυνάμεις ἐχόντων τὰ μὲν τῶν ξενιτευομένων στρατόπεδα μισθοῦνται καὶ χρήματα πολλὰ δαπανῶσι, συνειδότες ὅτι πλείους ἠδίκηκε τῶν πιστευσάντων αὐτοῖς ἢ σέσωκε, τὴν δὲ πόλιν τὴν τηλικαύτην δύναμιν κεκτημένην μὴ πειρῶνται θεραπεύειν, ἣ καὶ μίαν ἑκάστην τῶν πόλεων καὶ σύμπασαν τὴν Ἑλλάδα πολλάκις ἤδη σέσωκεν.

19 Me admiran los poderosos que pagan una soldada a ejércitos mercenarios[54] y gastan mucho dinero a pesar de saber que un ejército así con más frecuencia agravió que salvó a quienes tuvieron confianza en él, y, en cambio, no intentan cultivar a una ciudad que ha conseguido un poderío tan grande y que ha salvado ya muchas veces a cada una de las ciudades y a Grecia entera[55].

[20] ἐνθυμοῦ δ᾽ ὅτι πολλοῖς καλῶς βεβουλεῦσθαι δοκεῖς ὅτι δικαίως κέχρησαι Θετταλοῖς καὶ συμφερόντως ἐκείνοις, ἀνδράσιν οὐκ εὐμεταχειρίστοις, ἀλλὰ μεγαλοψύχοις καὶ στάσεως μεστοῖς. χρὴ τοίνυν καὶ περὶ ἡμᾶς πειρᾶσθαι γίγνεσθαί σε τοιοῦτον, ἐπιστάμενον ὅτι τὴν μὲν χώραν Θετταλοί, τὴν δὲ δύναμιν ἡμεῖς ὅμορόν σοι τυγχάνομεν ἔχοντες, ἣν ἐκ παντὸς τρόπου ζήτει προσαγαγέσθαι.

20 Piensa que a muchos les pareció buena tu decisión cuando trataste a los tesalios con justicia y provecho para ellos, aunque no son hombres manejables, sino orgullosos y revolucionarios. Es preciso que intentes ser así con nosotros, por saber que si los tesalios son vecinos tuyos por la situación de su territorio, nosotros lo somos por el poder, que debes tratar de granjearte por todos los medios.

[21] πολὺ γὰρ κάλλιόν ἐστι τὰς εὐνοίας τὰς τῶν πόλεων αἱρεῖν ἢ τὰ τείχη. τὰ μὲν γὰρ τοιαῦτα τῶν ἔργων οὐ μόνον ἔχει φθόνον, ἀλλὰ καὶ τῶν τοιούτων τὴν αἰτίαν τοῖς στρατοπέδοις ἀνατιθέασιν: ἢν δὲ τὰς οἰκειότητας καὶ τὰς εὐνοίας κτήσασθαι δυνηθῇς, ἅπαντες τὴν σὴν διάνοιαν ἐπαινέσονται.

21 Es mucho más hermoso, en efecto, conquistar el afecto de las ciudades que sus murallas[56]. Pues este acto no sólo acarrea odio, sino que también se atribuye su responsabilidad a los ejércitos. En cambio, si pudieras ganarte la intimidad y el afecto, todos aplaudirán tu inteligencia.

[22] δικαίως δ᾽ ἄν μοι πιστεύοις οἷς εἴρηκα περὶ τῆς πόλεως: φανήσομαι γὰρ οὔτε κολακεύειν αὐτὴν ἐν τοῖς λόγοις εἰθισμένος, ἀλλὰ πλεῖστα

22 Con razón me creerías en lo que he dicho sobre la ciudad. Pues se verá que no acostumbro a adularla en mis discursos, sino que la he

---

[53] Atenas, en efecto, había sido refugio de los enemigos de Filipo: el año 348 a. C. había recogido a los refugiados de Olinto y el 346 a los focidios.

[54] Lo mismo en *Filipo* 120.

[55] Cf. *Filipo* 129.

[56] Cf. *Filipo* 68.

πάντων ἐπιτετιμηκώς, οὔτ᾽ εὖ παρὰ τοῖς πολλοῖς καὶ τοῖς εἰκῇ δοκιμάζουσι φερόμενος, ἀλλ᾽ ἀγνοούμενος ὑπ᾽ αὐτῶν καὶ φθονούμενος ὥσπερ σύ. πλὴν τοσοῦτον διαφέρομεν, ὅτι πρὸς σὲ μὲν διὰ τὴν δύναμιν καὶ τὴν εὐδαιμονίαν οὕτως ἔχουσι, πρὸς δ᾽ ἐμέ, διότι προσποιοῦμαι τὸ βέλτιον αὐτῶν φρονεῖν καὶ πλείους ὁρῶσιν ἐμοὶ διαλέγεσθαι βουλομένους ἢ σφίσιν αὐτοῖς.

censurado más que nadie[57]. Tampoco tengo buena fama entre la masa ni entre los que aprueban una cosa al azar, antes bien, no me conocen y me odian como a ti. No nos diferenciamos sino en esto, en que piensan así sobre ti debido a tu poderío y prosperidad, y de mí, en cambio, porque intento pensar mejor que ellos y porque ven que son más los que quieren hablar conmigo que con ellos.

[23] ἠβουλόμην δ᾽ ἂν ἡμῖν ὁμοίως ῥᾴδιον εἶναι τὴν δόξαν ἣν ἔχομεν παρ᾽ αὐτοῖς διαφεύγειν. νῦν δὲ σὺ μὲν οὐ χαλεπῶς, ἢν βουληθῇς, αὐτὴν διαλύσεις, ἐμοὶ δ᾽ ἀνάγκη καὶ διὰ τὸ γῆρας καὶ δι᾽ ἄλλα πολλὰ στέργειν τοῖς παροῦσιν.

23 Querría que a ambos nos fuera igualmente fácil escapar a la fama que tenemos entre ellos. A ti ahora no te será difícil, si quieres, deshacerte de ella, pero yo, por mi edad y otras muchas cosas estoy obligado a contentarme con la situación actual.

[24] οὐκ οἶδ᾽ ὅ τι δεῖ πλείω λέγειν πλὴν τοσοῦτον, ὅτι καλόν ἐστι τὴν βασιλείαν καὶ τὴν εὐδαιμονίαν τὴν ὑπάρχουσαν ὑμῖν παρακαταθέσθαι τῇ τῶν Ἑλλήνων εὐνοίᾳ.

24 No sé qué más debo decir, salvo que es hermoso confiar la realeza y la prosperidad que tenéis al afecto de los griegos.

[57] Especialmente en los discursos *Areopagítico* y *Sobre la paz*.

CARTA V

A ALEJANDRO
[1] Ἀλεξάνδρῳ

[1] πρὸς τὸν πατέρα σου γράφων ἐπιστολὴν ἄτοπον ᾤμην ποιήσειν, εἰ περὶ τὸν αὐτὸν ὄντα σὲ τόπον ἐκείνῳ μήτε προσερῶ μήτ᾽ ἀσπάσομαι μήτε γράψω τι τοιοῦτον, ὃ ποιήσει τοὺς ἀναγνόντας μὴ νομίζειν ἤδη με παραφρονεῖν διὰ τὸ γῆρας μηδὲ παντάπασι ληρεῖν, ἀλλ᾽ ἔτι τὸ καταλελειμμένον μου μέρος καὶ λοιπὸν ὂν οὐκ ἀνάξιον εἶναι τῆς δυνάμεως ἣν ἔσχον νεώτερος ὤν.

1 Mientras escribía una carta a tu padre[58] pensé que actuaría de manera absurda si a ti que estás en el mismo territorio que él, no te dirigiera la palabra, te saludara y te escribiera algo capaz de hacer creer a quienes lo leyeran que no desvarío por la edad[59] ni digo tonterías, sino que aún me queda una parte y un resto no despreciable de la capacidad que tuve cuando era más joven.

[2] ἀκούω δέ σε πάντων λεγόντων ὡς φιλάνθρωπος εἶ καὶ φιλαθήναιος καὶ φιλόσοφος, οὐκ ἀφρόνως ἀλλὰ νοῦν ἐχόντως. τῶν τε γὰρ πολιτῶν ἀποδέχεσθαί σε τῶν ἡμετέρων οὐ τοὺς ἠμεληκότας αὑτῶν καὶ πονηρῶν πραγμάτων ἐπιθυμοῦντας, ἀλλ᾽ οἷς συνδιατρίβων τ᾽ οὐκ ἂν λυπηθείης, συμβάλλων τε καὶ κοινωνῶν πραγμάτων οὐδὲν ἂν βλαβείης οὐδ᾽ ἀδικηθείης, οἵοις περ χρὴ πλησιάζειν τοὺς εὖ φρονοῦντας:

2 Oigo decir a todos que tú eres humanitario, amigo de Atenas y filósofo, y no a la ligera sino con sensatez. En efecto, acoges con agrado a nuestros conciudadanos, no a los que se despreocupan de sí mismos y desean cometer crímenes, sino a aquellos cuyo trato no te perjudica ni te daña o injuria la reunión y comunicación con ellos. A este tipo de personas es al que deben acercarse los inteligentes.

[3] τῶν τε φιλοσοφιῶν οὐκ ἀποδοκιμάζειν μὲν οὐδὲ τὴν περὶ τὰς ἔριδας, ἀλλὰ νομίζειν εἶναι πλεονεκτικὴν ἐν ταῖς ἰδίαις διατριβαῖς, οὐ μὴν ἁρμόττειν οὔτε τοῖς τοῦ πλήθους προεστῶσιν οὔτε τοῖς τὰς μοναρχίας ἔχουσιν: οὐδὲ γὰρ συμφέρον οὐδὲ πρέπον ἐστὶ τοῖς μεῖζον τῶν ἄλλων φρονοῦσιν οὔτ᾽ αὐτοῖς ἐρίζειν πρὸς τοὺς συμπολιτευομένους οὔτε τοῖς ἄλλοις ἐπιτρέπειν πρὸς αὑτοὺς ἀντιλέγειν.

3 En cuanto a las escuelas filosóficas, no rechazas la que se dedica a la erística[60], pero piensas que ella ayuda a triunfar en las discusiones particulares, aunque no armoniza con los dirigentes del pueblo ni con los monarcas. Pues no sería útil ni conveniente a los que superan a los demás en inteligencia que discutieran con sus conciudadanos ni que permitieran que otros les contradijeran.

[4] ταύτην μὲν οὖν οὐκ ἀγαπᾶν σε τὴν διατριβήν, προαιρεῖσθαι δὲ τὴν παιδείαν τὴν περὶ τοὺς λόγους, οἷς χρώμεθα περὶ τὰς πράξεις τὰς προσπιπτούσας καθ᾽ ἑκάστην τὴν ἡμέραν καὶ μεθ᾽ ὧν βουλευόμεθα περὶ τῶν κοινῶν: δι᾽ ἣν νῦν

4 Esta ocupación no te agrada y prefieres la enseñanza de los discursos que utilizamos en los sucesos que ocurren cada día y con los que decidimos los asuntos públicos. Gracias a esta educación deliberarás convenientemente sobre el

[58] Véase nota 12 a la Introducción a las cartas.

[59] Isócrates tiene entonces entre 94 y 96 años.

[60] La crítica de Isócrates a la erística se había producido ya en *Contra los sofistas* y en el *Elogio de Helena*.

τε δοξάζειν περὶ τῶν μελλόντων ἐπιεικῶς, τοῖς τ᾽ ἀρχομένοις προστάττειν οὐκ ἀνοήτως ἃ δεῖ πράττειν ἑκάστους, ἐπιστήσει, περὶ δὲ τῶν καλῶν καὶ δικαίων καὶ τῶν τούτοις ἐναντίων ὀρθῶς κρίνειν, πρὸς δὲ τούτοις τιμᾶν τε καὶ κολάζειν ὡς προσῆκόν ἐστιν ἑκατέρους.

futuro, sabrás ordenar con sensatez a tus súbditos lo que cada uno debe hacer, distinguirás con acierto a los buenos y a los malos y a sus contrarios, y, además, honrarás y castigarás a cada uno como conviene.

[5] σωφρονεῖς οὖν νῦν ταῦτα μελετῶν: ἐλπίδας γὰρ τῷ τε πατρὶ καὶ τοῖς ἄλλοις παρέχεις, ὡς, ἂν πρεσβύτερος γενόμενος ἐμμείνῃς τούτοις, τοσοῦτον προέξεις τῇ φρονήσει τῶν ἄλλων, ὅσον περ ὁ πατήρ σου διενήνοχεν ἁπάντων.

5 Actúas con prudencia al ocuparte ahora de estos estudios. Pues das esperanzas a tu padre y a otros de que, si cuando seas mayor perseveras en ellos, aventajarás en inteligencia a los demás tanto como tu padre ha sobrepasado a todos.

CARTA IV

A ANTÍPATRO
Ἀντιπάτρῳ

[1] ἐγώ, καίπερ ἐπικινδύνου παρ᾽ ἡμῖν ὄντος εἰς Μακεδονίαν πέμπειν ἐπιστολήν, οὐ μόνον νῦν ὅτε πολεμοῦμεν πρὸς ὑμᾶς, ἀλλὰ καὶ τῆς εἰρήνης οὔσης, ὅμως γράψαι πρὸς σὲ προειλόμην περὶ Διοδότου, δίκαιον εἶναι νομίζων ἅπαντας μὲν περὶ πολλοῦ ποιεῖσθαι τοὺς ἐμαυτῷ πεπλησιακότας καὶ γεγενημένους ἀξίους ἡμῶν, οὐχ ἥκιστα δὲ τοῦτον καὶ διὰ τὴν εὔνοιαν τὴν εἰς ἡμᾶς καὶ διὰ τὴν ἄλλην ἐπιείκειαν.

1 Aunque es peligroso entre nosotros enviar una carta a Macedonia, no sólo ahora que estamos en guerra con vosotros, sino también cuando había paz[61], a pesar de ello, yo decidí escribirte a propósito de Diódoto[62]. Creía justo hacer mucho caso de todos los que han sido discípulos míos y han resultado dignos de nosotros, y no menos por esta razón que por su afecto hacia nuestras personas y por sus demás cualidades.

[2] μάλιστα μὲν οὖν ἠβουλόμην ἂν αὐτὸν συσταθῆναί σοι δι᾽ ἡμῶν: ἐπειδὴ δὲ δι᾽ ἑτέρων ἐντετύχηκέ σοι, λοιπόν ἐστί μοι μαρτυρῆσαι περὶ αὐτοῦ καὶ βεβαιῶσαι τὴν γεγενημένην αὐτῷ πρὸς σὲ γνῶσιν. ἐμοὶ γὰρ πολλῶν καὶ παντοδαπῶν συγγεγενημένων ἀνδρῶν καὶ δόξας ἐνίων μεγάλας ἐχόντων, τῶν μὲν ἄλλων ἁπάντων οἱ μέν τινες περὶ αὐτὸν τὸν λόγον, οἱ δὲ περὶ τὸ διανοηθῆναι καὶ πρᾶξαι δεινοὶ γεγόνασιν, οἱ ἐπὶ μὲν τοῦ βίου σώφρονες καὶ χαρίεντες, πρὸς δὲ τὰς ἄλλας χρήσεις καὶ διαγωγὰς ἀφυεῖς παντάπασιν:

2 Sobre todo quería que Diódoto te hubiera sido presentado por nosotros. Pero como ya otros le han puesto en contacto contigo, sólo me queda darte mi testimonio sobre él y afirmarte en el conocimiento que de él has tenido. Porque muchos hombres y de todas procedencias han tenido relación conmigo, incluso algunos que gozan de gran prestigio[63]. De entre todos, unos han llegado a ser respetados por su oratoria, otros por su pensamiento y acción, y algunos son prudentes y amables en su manera de vivir, pero absolutamente incapaces para otras prácticas y actividades.

[3] οὗτος δ᾽ οὕτως εὐάρμοστον τὴν φύσιν ἔσχηκεν ὥστ᾽ ἐν ἅπασι τοῖς εἰρημένοις τελειότατος εἶναι. καὶ ταῦτ᾽ οὐκ ἂν ἐτόλμων λέγειν, εἰ μὴ τὴν ἀκριβεστάτην πεῖραν αὐτός τ᾽ εἶχον αὐτοῦ καὶ σὲ λήψεσθαι προσεδόκων, τὰ μὲν αὐτὸν χρώμενον αὐτῷ,

3 Diódoto, en cambio, ha tenido unas dotes naturales tan bien proporcionadas que es el hombre más completo en todo lo citado. Y esto no me atrevería a decirlo si no tuviera personalmente un exactísimo conocimiento sobre él y no pensara que tú te darías cuenta, unas veces al tratar con él,

[4] τὰ δὲ καὶ παρὰ τῶν ἄλλων τῶν ἐμπείρων αὐτοῦ πυνθανόμενον, ὧν οὐδεὶς ὅστις οὐκ ἂν ὁμολογήσειεν, εἰ μὴ λίαν εἴη φθονερός, καὶ εἰπεῖν

4 otras al enterarte por quienes le conocen bien. De estos últimos no habría ninguno que no reconociera, a no ser que fuera muy envidioso, que

---

[61] La guerra entre Atenas y Macedonia se reanudó en octubre del año 340 a. C. Isócrates, sin embargo, al hablar del peligro en tiempos de paz, alude a la difícil situación en que se hallaban los atenienses amigos de Filipo debido a los ataques del partido de Demóstenes. Cf. DEMÓST., *Sobre la corona* 51-52, 82, 136-137, 287, 296.

[62] Personaje desconocido.

[63] Cf. *Sobre el cambio de fortunas* 39-40 y 93-94.

καὶ βουλεύσασθαι μηδενὸς ἧττον αὐτὸν δύνασθαι καὶ δικαιότατον καὶ σωφρονέστατον εἶναι καὶ χρημάτων ἐγκρατέστατον, ἔτι δὲ συνημερεῦσαι καὶ συμβιῶναι πάντων ἥδιστον καὶ λιγυρώτατον, πρὸς δὲ τούτοις πλείστην ἔχειν παρρησίαν, οὐχ ἣν οὐ προσῆκεν, ἀλλὰ τὴν εἰκότως ἂν μέγιστον γιγνομένην σημεῖον τῆς εὐνοίας τῆς πρὸς τοὺς φίλους:

Diódoto puede hablar y reflexionar mejor que nadie, que es el más justo, el más prudente, y el más moderado en el dinero, y, además, el más agradable y agudo[64] de todos en el trato cotidiano y en la vida en común, así como poseedor de la mayor franqueza, no la que está fuera de lugar, sino la que con razón es la mejor señal de afecto hacia los amigos.

[5] ἣν τῶν δυναστῶν οἱ μὲν ἀξιόχρεων τὸν ὄγκον τὸν τῆς ψυχῆς ἔχοντες τιμῶσιν ὡς χρησίμην οὖσαν, οἱ δ᾽ ἀσθενέστεροι τὰς φύσεις ὄντες ἢ κατὰ τὰς ὑπαρχούσας ἐξουσίας δυσχεραίνουσιν, ὡς ὧν οὐ προαιροῦνταί τι ποιεῖν βιαζομένην αὑτούς, οὐκ εἰδότες ὡς οἱ μάλιστα περὶ τοῦ συμφέροντος ἀντιλέγειν τολμῶντες, οὗτοι πλείστην ἐξουσίαν αὐτοῖς τοῦ πράττειν ἃ βούλονται παρασκευάζουσιν.

5 Esta franqueza es la que honran como útil los príncipes que tienen un espíritu digno, pero que aborrecen quienes tienen un carácter inferior a su poder, como si ella les obligara a hacer algo que no quieren. No saben que quienes tienen el mayor atrevimiento para llevarles la contraria en lo que les conviene son precisamente los que les proporcionan la mayor posibilidad de realizar lo que quieren.

[6] εἰκὸς γὰρ διὰ μὲν τοὺς ἀεὶ πρὸς ἡδονὴν λέγειν προαιρουμένους οὐχ ὅπως τὰς μοναρχίας δύνασθαι διαμένειν, αἳ πολλοὺς τοὺς ἀναγκαίους ἐφέλκονται κινδύνους, ἀλλ᾽ οὐδὲ τὰς πολιτείας, αἳ μετὰ πλείονος ἀσφαλείας εἰσί, διὰ δὲ τοὺς ἐπὶ τῷ βελτίστῳ παρρησιαζομένους πολλὰ σῴζεσθαι καὶ τῶν ἐπιδόξων διαφθαρήσεσθαι πραγμάτων. ὧν ἕνεκα προσῆκε μὲν παρὰ πᾶσι τοῖς μονάρχοις πλέον φέρεσθαι τοὺς τὴν ἀλήθειαν ἀποφαινομένους τῶν ἅπαντα μὲν πρὸς χάριν, μηδὲν δὲ χάριτος ἄξιον λεγόντων: συμβαίνει δ᾽ ἔλαττον ἔχειν αὐτοὺς παρ᾽ ἐνίοις αὐτῶν.

6 Es lógico que a causa de los que siempre prefieren hablar para agradar no sólo no puedan durar las monarquías que arrastran consigo muchos riesgos inevitables, sino tampoco los gobiernos que tienen más estabilidad. En cambio, gracias a los que hablan con toda libertad para conseguir lo mejor, se salvan muchas cosas, incluso las que parecen en peligro de desaparecer. Por este motivo conviene que en todas las monarquías tengan más consideración los que manifiestan la verdad que los que dicen todo para agradar pero nada digno de gratitud. Sin embargo, sucede que a los primeros algunos los tienen en menor consideración.

[7] ὃ καὶ Διοδότῳ παθεῖν συνέπεσε παρά τισι τῶν περὶ τὴν Ἀσίαν δυναστῶν, οἷς περὶ πολλὰ χρήσιμος γενόμενος οὐ μόνον τῷ συμβουλεύειν ἀλλὰ καὶ τῷ πράττειν καὶ κινδυνεύειν, διὰ τὸ παρρησιάζεσθαι πρὸς αὐτοὺς περὶ ὧν ἐκείνοις συνέφερε, καὶ τῶν οἴκοι τιμῶν ἀπεστέρηται καὶ πολλῶν ἄλλων ἐλπίδων, καὶ μεῖζον ἴσχυσαν αἱ τῶν τυχόντων ἀνθρώπων κολακεῖαι τῶν εὐεργεσιῶν τῶν τούτου.

7 Esto es lo que le tocó sufrir a Diódoto de algunos príncipes de Asia[65], a los que les fue muy útil no sólo con sus consejos, sino también con su actuación y peligros que corrió. Pero a causa de hablarles con franqueza de lo que les convenía, quedó desposeído de sus honores en la patria y de otras muchas esperanzas, y tuvieron más influencia las adulaciones de unos hombres cualquiera que sus buenas acciones.

[64] El término utilizado por Isócrates *ligyrótaton* en el sentido de «el más agudo en el trato» es único en toda la literatura griega. La palabra *ligyrós* siempre se refiere a la voz.

[65] Estos príncipes eran Mausolo, su hermano Idrieo, Orontes, etc.

[8] διὸ δὴ καὶ πρὸς ὑμᾶς ἀεὶ προσιέναι διανοούμενος ὀκνηρῶς εἶχεν, οὐχ ὡς ἅπαντας ὁμοίους εἶναι νομίζων τοὺς ὑπὲρ αὐτὸν ὄντας, ἀλλὰ διὰ τὰς πρὸς ἐκείνους γεγενημένας δυσχερείας καὶ πρὸς τὰς παρ᾽ ὑμῶν ἐλπίδας ἀθυμότερος ἦν, παραπλήσιον, ὡς ἐμοὶ δοκεῖ, πεπονθὼς τῶν πεπλευκότων τισίν, οἳ τὸ πρῶτον, ὅταν χρήσωνται χειμῶσιν, οὐκέτι θαρροῦντες εἰσβαίνουσιν εἰς θάλατταν, καίπερ εἰδότες ὅτι καὶ καλοῦ πλοῦ πολλάκις ἐπιτυχεῖν ἔστιν. οὐ μὴν ἀλλ᾽ ἐπειδὴ συνέστηκέ σοι, καλῶς ποιεῖ. λογίζομαι γὰρ αὐτῷ συνοίσειν,

8 Por este motivo, siempre que pensaba marchar junto a vosotros, vacilaba, no porque creyera que todos son iguales a los que estaban por encima de él, sino que por las dificultades que había tenido con aquéllos también se encontraba desanimado en las esperanzas que tenía en vosotros. Según mi parecer, estaba en situación parecida a la de algunos navegantes que cuando por vez primera se topan con borrascas, nunca se vuelven a embarcar con confianza, aunque sepan que lo más frecuente es tener una buena navegación. A pesar de todo, puesto que se ha puesto en contacto contigo, él obra bien.

[9] μάλιστα μὲν τῇ φιλανθρωπίᾳ τῇ σῇ στοχαζόμενος, ἣν ἔχειν ὑπείληψαι παρὰ τοῖς ἔξωθεν ἀνθρώποις, ἔπειτα νομίζων οὐκ ἀγνοεῖν ὑμᾶς ὅτι πάντων ἥδιστόν ἐστι καὶ λυσιτελέστατον πιστοὺς ἅμα καὶ χρησίμους φίλους κτᾶσθαι ταῖς εὐεργεσίαις καὶ τοὺς τοιούτους εὖ ποιεῖν, ὑπὲρ ὧν πολλοὶ καὶ τῶν ἄλλων ὑμῖν χάριν ἕξουσιν. ἅπαντες γὰρ οἱ χαρίεντες τοὺς τοῖς σπουδαίοις τῶν ἀνδρῶν καλῶς ὁμιλοῦντας ὁμοίως ἐπαινοῦσι καὶ τιμῶσιν ὥσπερ αὐτοὶ τῶν ὠφελειῶν ἀπολαύοντες.

9 Opino que le será útil, sobre todo pensando en tu humanidad, cuya posesión te atribuyen los extranjeros, y también porque, según creo, vosotros sabéis que lo más grato y conveniente de todo es adquirir con favores amigos que sean simultáneamente fieles y útiles, y obrar bien con aquellos que os granjearán el agradecimiento de muchos otros. Porque todos los hombres amables aplauden igualmente a quienes tienen buenas relaciones con las personas virtuosas y les honran como si fueran ellos mismos los que disfrutan de sus servicios.

[10] ἀλλὰ γὰρ Διόδοτον αὐτὸν οἶμαι μάλιστά σε προτρέψεσθαι πρὸς τὸ φροντίζειν αὑτοῦ. συνέπειθον δὲ καὶ τὸν υἱὸν αὐτοῦ τῶν ὑμετέρων ἀντέχεσθαι πραγμάτων καὶ παραδόνθ᾽ ὑμῖν αὐτὸν ὥσπερ μαθητὴν εἰς τοὔμπροσθε πειραθῆναι προελθεῖν. ὁ δὲ ταῦτά μου λέγοντος ἐπιθυμεῖν μὲν ἔφασκε τῆς ὑμετέρας φιλίας, οὐ μὴν ἀλλὰ παραπλήσιόν τι πεπονθέναι πρὸς αὐτὴν καὶ πρὸς τοὺς στεφανίτας ἀγῶνας.

10 Pero creo que el propio Diódoto te persuadirá para que te intereses por él. Exhorté también a su hijo a que se consagrara a vuestros asuntos y a que intentara progresar confiándose a vosotros como discípulo. Al hablarle así me contestó que deseaba vuestra amistad, pero que con ella le ocurría algo parecido a los certámenes donde los vencedores se llevan coronas.

[11] ἐκείνους τε γὰρ νικᾶν μὲν ἂν βούλεσθαι, καταβῆναι δ᾽ εἰς αὐτοὺς οὐκ ἂν τολμῆσαι διὰ τὸ μὴ μετεσχηκέναι ῥώμης ἀξίας τῶν στεφάνων, τῶν τε παρ᾽ ὑμῶν τιμῶν εὔξασθαι μὲν ἂν τυχεῖν, ἐφίξεσθαι δ᾽ αὐτῶν οὐ προσδοκᾶν: τήν τε γὰρ ἀπειρίαν τὴν αὑτοῦ καταπεπλῆχθαι καὶ τὴν λαμπρότητα τὴν ὑμετέραν, ἔτι δὲ καὶ τὸ σωμάτιον οὐκ εὐκρινὲς ὂν ἀλλ᾽ ἔχον ἄττα σίνη

11 En efecto, querría vencer en estos concursos, pero no se atrevería a bajar a la arena porque su fuerza no estaba en proporción con las coronas[66]. También desearía alcanzar vuestra estimación pero creía que no la conseguiría. Pues le espantaban su inexperiencia y vuestra gloria, y también creía que al no ser buena su salud sino

[66] Referencia a los juegos panhelénicos donde los vencedores recibían coronas trenzadas con ramas de diversos árboles (*agones stephanitai*), mucho más estimadas que los premios en metálico concedidos en otros certámenes (*agones chrematitai*).

νομίζειν ἐμποδιεῖν αὐτὸν πρὸς πολλὰ τῶν πραγμάτων.

algo achacosa estaría impedido para muchas actividades.

[12] οὗτος μὲν οὖν, ὅ τι ἂν αὐτῷ δοκῇ συμφέρειν, τοῦτο πράξει: σὺ δ᾽ ἄν τε περὶ ὑμᾶς ἄν θ᾽ ἡσυχίαν ἔχων διατρίβῃ περὶ τούτους τοὺς τόπους, ἐπιμελοῦ καὶ τῶν ἄλλων μὲν ἁπάντων ὧν ἂν τυγχάνῃ δεόμενος, μάλιστα δὲ τῆς ἀσφαλείας καὶ τῆς τούτου καὶ τῆς τοῦ πατρὸς αὐτοῦ, νομίσας ὥσπερ παρακαταθήκην ἔχειν τούτους παρά τε τοῦ γήρως ἡμῶν, ὃ προσηκόντως ἂν πολλῆς τυγχάνοι προνοίας, καὶ τῆς δόξης τῆς ὑπαρχούσης, εἴ τινος ἄρα σπουδῆς ἐστὶν ἀξία, καὶ τῆς εὐνοίας τῆς πρὸς ὑμᾶς ἣν ἔχων ἅπαντα τὸν χρόνον διατετέλεκα.

12 De todas formas, él hará lo que considere conveniente. Y si vive en inactividad junto a vosotros o por esos lugares, preocúpate de todo lo que pueda necesitar, y especialmente de su seguridad y la de su padre. Piensa que ellos son como una fianza que te hace mi vejez (que lógicamente merece mucha consideración), el prestigio que tengo, si es que es digno de alguna benevolencia, y el afecto que siempre os he profesado.

[13] καὶ μὴ θαυμάσῃς, μήτ᾽ εἰ μακροτέραν γέγραφα τὴν ἐπιστολὴν μήτ᾽ εἴ τι περιεργότερον καὶ πρεσβυτικώτερον εἰρήκαμεν ἐν αὐτῇ: πάντων γὰρ τῶν ἄλλων ἀμελήσας ἑνὸς μόνον ἐφρόντισα, τοῦ φανῆναι σπουδάζων ὑπὲρ ἀνδρῶν φίλων καὶ προσφιλεστάτων μοι γεγενημένων.

13 Y no te asombres de que te haya escrito una carta tan larga ni de que hayamos dicho en ella algo más superfluo y propio de la vejez. Pues me despreocupé de todo lo demás para pensar en una sola cosa, en demostrar que me preocupo por los que han sido para mí los más queridos amigos.

CARTA III

A FILIPO
[1] Φιλίππῳ

[1] ἐγὼ διελέχθην μὲν καὶ πρὸς Ἀντίπατρον περί τε τῶν τῇ πόλει καὶ τῶν σοὶ συμφερόντων ἐξαρκούντως, ὡς ἐμαυτὸν ἔπειθον, ἠβουλήθην δὲ καὶ πρὸς σὲ γράψαι περὶ ὧν μοι δοκεῖ πρακτέον εἶναι μετὰ τὴν εἰρήνην, παραπλήσια μὲν τοῖς ἐν τῷ λόγῳ γεγραμμένοις, πολὺ δ᾽ ἐκείνων συντομώτερα.

1 Discutí con Antípatro[67] de los asuntos convenientes para la ciudad y para ti, suficientemente según me pareció, pero querría también escribirte con respecto a lo que, según creo, debe hacerse para obtener la paz, cosas parecidas a las que figuran en mi discurso[68], aunque de forma mucho más breve.

[2] κατ᾽ ἐκεῖνον μὲν γὰρ τὸν χρόνον συνεβούλευον ὡς χρὴ διαλλάξαντά σε τὴν πόλιν τὴν ἡμετέραν καὶ τὴν Λακεδαιμονίων καὶ τὴν Θηβαίων καὶ τὴν Ἀργείων εἰς ὁμόνοιαν καταστῆσαι τοὺς Ἕλληνας, ἡγούμενος, ἂν τὰς προεστώσας πόλεις πείσῃς οὕτω φρονεῖν, ταχέως καὶ τὰς ἄλλας ἐπακολουθήσειν. τότε μὲν οὖν ἄλλος ἦν καιρός, νῦν δὲ συμβέβηκε μηκέτι δεῖν πείθειν: διὰ γὰρ τὸν ἀγῶνα τὸν γεγενημένον ἠναγκασμένοι πάντες εἰσὶν εὖ φρονεῖν καὶ τούτων ἐπιθυμεῖν ὧν ὑπονοοῦσί σε βούλεσθαι πράττειν καὶ λέγειν, ὡς δεῖ παυσαμένους τῆς μανίας καὶ τῆς πλεονεξίας, ἣν ἐποιοῦντο πρὸς ἀλλήλους, εἰς τὴν Ἀσίαν τὸν πόλεμον ἐξενεγκεῖν.

2 En aquella época te advertí la necesidad de que reconciliaras a nuestra ciudad, a la de los lacedemonios, tebanos y argivos, para llevar la concordia a los griegos. Pensaba que si convencías a las ciudades principales a pensar así, rápidamente las seguirían también las demás. Entonces era otra la situación, pero ahora no hace falta persuadirlas. Pues a causa del combate producido[69] todos se han visto obligados a ser sensatos, a desear aquello que, según piensan, tú quieres hacer, y a decir que han de cesar su locura y la ambición que tenían entre ellos, para llevar la guerra a Asia.

[3] καὶ πολλοὶ πυνθάνονται παρ᾽ ἐμοῦ πότερον ἐγώ σοι παρήνεσα ποιεῖσθαι τὴν στρατείαν τὴν ἐπὶ τοὺς βαρβάρους ἢ σοῦ διανοηθέντος συνεῖπον: ἐγὼ δ᾽ οὐκ εἰδέναι μέν φημι τὸ σαφές, οὐ γὰρ συγγεγενῆσθαί σοι πρότερον, οὐ μὴν ἀλλ᾽ οἴεσθαι σὲ μὲν ἐγνωκέναι περὶ τούτων, ἐμὲ δὲ συνειρηκέναι ταῖς σαῖς ἐπιθυμίαις.
ταῦτα δ᾽ ἀκούοντες ἐδέοντό μου πάντες παρακελεύεσθαί σοι καὶ προτρέπειν ἐπὶ τῶν αὐτῶν τούτων μένειν, ὡς οὐδέποτ᾽ ἂν γενομένων

3 Muchos me preguntan si yo te aconsejé hacer la expedición contra los bárbaros o la defendí cuando ya la tenías proyectada. Yo contesto que no lo sé con seguridad, pues nunca me he reunido contigo, pero que creo que tú ya la habías decidido y que yo hablé de acuerdo con tus deseos.
Al oírme todos me piden que te anime y exhorte a seguir pensando en ella, porque nunca

[67] Antípatro, futuro regente de Macedonia y Grecia durante la expedición de Alejandro, ya había tomado parte en las negociaciones previas a la paz de Filócrates (346 a. C.); Isócrates se refiere ahora a la presencia de Antípatro en Atenas con la misma misión.
[68] El discurso *Filipo*.
[69] La batalla de Queronea, librada en el otoño del año 338 a. C.

οὔτε καλλιόνων ἔργων οὔτ᾽ ὠφελιμωτέρων τοῖς Ἕλλησιν οὔτ᾽ ἐν καιρῷ μᾶλλον πραχθησομένων.

ocurrieron empresas más hermosas y útiles para los griegos ni más oportunas de realizar.

[4] εἰ μὲν οὖν εἶχον τὴν αὐτὴν δύναμιν ἥνπερ πρότερον, καὶ μὴ παντάπασιν ἦν ἀπειρηκώς, οὐκ ἂν δι᾽ ἐπιστολῆς διελεγόμην, ἀλλὰ παρὼν αὐτὸς παρώξυνον ἄν σε καὶ παρεκάλουν ἐπὶ τὰς πράξεις ταύτας. νῦν δ᾽ ὡς δύναμαι παρακελεύομαί σοι μὴ καταμελῆσαι τούτων, πρὶν ἂν τέλος ἐπιθῇς αὐτοῖς. ἔστι δὲ πρὸς μὲν ἄλλο τι τῶν ὄντων ἁπλήστως ἔχειν οὐ καλόν, αἱ γὰρ μετριότητες παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦσι, δόξης δὲ μεγάλης καὶ καλῆς ἐπιθυμεῖν καὶ μηδέποτ᾽ ἐμπίπλασθαι προσήκει τοῖς πολὺ τῶν ἄλλων διενεγκοῦσιν: ὅπερ σοὶ συμβέβηκεν.

4 Si tuviera la misma capacidad de antes y no me encontrase completamente desfallecido[70], no te hablaría a través de una carta, sino que me presentaría personalmente para incitarte y exhortarte a estas hazañas. Ahora te animo como puedo para que no te desentiendas de ellas antes de llevarlas a término. No está bien ser insaciable de cualquier otra cosa de las que existen. Pues la continencia goza de prestigio entre la mayoría. Pero desear un grande y hermoso prestigio y no considerarse nunca satisfecho es conveniente para los que sobrepasan en mucho a los demás. Ésta es precisamente tu situación.

[5] ἡγοῦ δὲ τόθ᾽ ἕξειν ἀνυπέρβλητον αὐτὴν καὶ τῶν σοὶ πεπραγμένων ἀξίαν, ὅταν τοὺς μὲν βαρβάρους ἀναγκάσῃς εἱλωτεύειν τοῖς Ἕλλησι πλὴν τῶν σοὶ συναγωνισαμένων, τὸν δὲ βασιλέα τὸν νῦν μέγαν προσαγορευόμενον ποιήσῃς τοῦτο πράττειν ὅ τι ἂν σὺ προστάττῃς. οὐδὲν γὰρ ἔσται λοιπὸν ἔτι πλὴν θεὸν γενέσθαι. ταῦτα δὲ κατεργάσασθαι πολὺ ῥᾷόν ἐστιν ἐκ τῶν παρόντων ἢ προελθεῖν ἐπὶ τὴν δύναμιν καὶ τὴν δόξαν ἣν νῦν ἔχεις, ἐκ τῆς βασιλείας τῆς ἐξ ἀρχῆς ὑμῖν ὑπαρξάσης.

5 Piensa que tendrás una fama insuperable y digna de tus hazañas cuando obligues a los bárbaros (salvo a quienes combaten a tu lado) a ser hilotas de los griegos, cuando logres que el que ahora se llama gran rey haga lo que tú le mandes. No te faltará sino ser dios[71]. Es mucho más fácil realizar esto desde tu situación actual que haber llegado al poderío y gloria que ahora posees desde el reino que al principio tenías.

[6] χάριν δ᾽ ἔχω τῷ γήρᾳ ταύτην μόνην, ὅτι προήγαγεν εἰς τοῦτό μου τὸν βίον, ὥσθ᾽ ἃ νέος ὢν διενοούμην καὶ γράφειν ἐπεχείρουν ἔν τε τῷ πανηγυρικῷ λόγῳ καὶ τῷ πρὸς σὲ πεμφθέντι, ταῦτα νῦν τὰ μὲν ἤδη γιγνόμενα διὰ τῶν σῶν ἐφορῶ πράξεων, τὰ δ᾽ ἐλπίζω γενήσεσθαι.

6 Sólo le tengo que agradecer a la vejez que me ha hecho llegar hasta este momento de mi vida para ver ya realizadas por tus hazañas algunas de las cosas que proyectaba cuando era joven e intenté escribirte en el discurso Panegírico y en otro que te envié. Espero que también las demás se realizarán.



[70] Isócrates va a morir dentro de poco.

[71] Cf. *Filipo* 113 y 151.